Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

Evsebii Pamphili De Vita Beatissimi Imperatoris Constantini, Liber Quartus

urn:nbn:de:hbz:466:1-14478

Visual Library

# ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ, ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ βασιλέως, Λόγος δ'.

# EVSEBII PAMPHILI DE VITA BEATISSIMI IMPERATORIS CONSTANTINI, LIBER QUARTUS

## ΚΕΦΑΛΑΙΟΝ Α'.

*Ὅπως δωρεαῖς καὶ προκοπαῖς ἀξιωμάτων ἐτίμα τοὺς πλείστους.*

Τοσαῦτα πράττων βασιλεὺς ἐπ' οἰκοδομῇ καὶ εὐδοξίᾳ τῆς ἐκκλησίας τοῦ Θεοῦ, πάντα τε πρὸς εὔφημον ἀκοὴν τῆς τοῦ σωτῆρος διδασκαλίας ἐκτελῶν, οὐδὲ τῶν ἐκτὸς κατωλιγώρει πραγμάτων· κἀν τούτοις δ' ἐπαλλήλους καὶ συνεχεῖς ὁμοῦ πᾶσι τοῖς καθ' ἔθνος οἰκοῦσι, παντοίας διετέλει παρέχων εὐεργεσίας. ὧδε μὲν, κοινὴν πρὸς ἅπαντας ἐνδεικνύμενος πατρικὴν κηδεμονίαν. ὧδε δὲ, τῶν αὐτῷ γνωριζομένων ἕκαστον διαφόροις τιμῶν ἀξιώμασι· πάντα τε τοῖς πᾶσι μεγαλοψύχῳ διανοίᾳ δωρούμενος· οὐδ' ἦν σκοποῦ διαμαρτεῖν, παρὰ βασιλέως χάριν αἰτοῦντα· οὐδέ τις ἐλπίσας ἀγαθοῦ τυχεῖν, τοῦ προσδοκηθέντος ἠστόχησεν. ἀλλ' οἱ μὲν χρημάτων. οἱ δὲ κτημάτων περιουσίας ἐτύγχανον· ἄλλοι ὑπατικῶν ἀξιωμάτων· οἱ δὲ συγκλήτου τιμῆς· οἱ δὲ τῶν ὑπάτων· πλείους δ' ἡγεμόνες ἐχρημάτιζον. κομήτων δ' οἱ μὲν, πρώτου τάγματος ἠξιοῦντο· οἱ δὲ, δευτέρου· οἱ δὲ τρίτου· διασημοτάτων δ' ὡσαύτως καὶ ἑτέρων πλείστων ἀξιωμάτων, μυρίοι ἄλλοι μετεῖχον· εἰς γὰρ τὸ πλείονας τιμᾶν, διαφόρους ἐπενόει βασιλεὺς ἀξίας.

## CAPUT I.

*Qualiter donis ac promotionibus plurimos cohonestavit.*

A TOt tantásque res ad amplificationem & gloriam Ecclesiæ Dei Imperator cùm ageret, cunctáque eo consilio administraret ut Servatoris nostri doctrina summis omnium laudibus exciperetur, civilia interim negotia haudquaquam neglexit. Verùm hac quoque in parte omnium provinciarum incolas variis & continuis beneficiis afficere nunquam destitit: nunc quidem publicè erga omnes paternam quandam exhibens sollicitudinem: nunc privatim singulos ex familiaribus suis, variis ornans dignitatibus; & prolixa animi magni- B tudine omnia omnibus largiens. Nec eveniebat unquam, ut à scopo aberraret, qui ab Imperatore beneficium petebat: nec ullus qui bonum aliquod ab eo speravisset, spe sua frustratus discessit. Quippe alii pecunias, alii prædia impetrabant. Alii Consulari, alii Senatoria dignitate ornabantur. Nonnulli Consulares, plures Præsides designabantur. Comites verò, alii primi ordinis fiebant, alii secundi, alii tertii. Porro Perfectissimatu, & aliis plurimis ejusmodi dignitatum titulis, innumerabiles alii donabantur. Namque Impera- C tor quo plures honore afficeret, varias dignitates excogitaverat.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

*Συγχωρήσεις τοῦ τετάρτου μέρους τῶν κήνσων.*

Πῶς δὲ καὶ τὸ κοινὸν τῶν ἀνθρώπων εὐθυμεῖσθαι παρεσκεύαζε, σκοπήσειεν ἄν τις ἐξ ἑνὸς βιωφελοῦς καὶ διὰ πάντων ἐλθόντος, εἰσέτι νῦν γνωριζομένου παραδείγματος. τῶν κατ' ἔτος εἰσφορῶν τῶν ὑπὲρ τῆς χώρας συντελου-

## CAPUT II.

*Remissio quartæ partis censuum.*

QUantoperè vero studuerit, ut universo hominum generi hilarem ac tranquillam vitam præstaret, vel ex hoc uno exemplo perspici potest, quod ad vitam hominum inprimis utile, & generaliter ad omnes propagatũ, etiamnum

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

communi omnium sermone celebratur. Ex annuis tributis quæ terræ nomine conferebantur, quartam detrahens partem, agrorum possessoribus donavit: adeò ut si hujus annuæ detractionis rationem inieris, quarto quoq; anno fructuum Domini à præstatione tributaria immunes essent. Quod quidem lege sancitum, & in futurum tempus confirmatum, non præsentibus modò, verùm etiam liberis posterisque eorum, perpetuam nullâque oblivione delendam Imperatoris beneficentiam præstitit.

μένων, τὴν τετάρτην ἀφελὼν μοῖραν, τοῖς τῶν ἀγρῶν δεσπόταις ἐδωρεῖτο ταύτην ὡς λογιζομένῳ τὴν καθ' ἔτος ἀφαίρεσιν, διὰ τεττάρων συμβαίνειν ἐνιαυτῶν ἀνεισφόρους γίνεσθαι τοὺς τῶν καρπῶν οἰκήτορας· ὃ δὴ νόμῳ κυρωθὲν, κρατήσαν τε καὶ εἰς τὸν μετέπειτα χρόνον, οὐ τοῖς παροῦσι μόνον, ἀλλὰ καὶ παισὶν αὐτῶν διαδόχοις τε τοῖς τούτων, ἄληστον καὶ διαμένουσαν παρεῖχε τὴν βασιλέως χάριν.

## Caput III.

*Peræquatio ac relevatio censuum.*

IAm verò cùm nonnulli terræ descriptiones & jugationes à superioribus Principibus factas reprehenderent, agrosq; suos nimium oppressos esse quererentur, hîc etiam Princeps justitiæ legibus obtemperans, peræquatores mittebat, qui à supplicantibus damnum depellerent.

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐξισώσεις καὶ βεβαρημένων κήνσων.

B ἘΠεὶ δ' ἕτεροι τὰς τῶν πρότερον κρατούντων τῆς γῆς καταμετρήσεις κατεμέμφοντο, βεβαρῆσθαι αὐτῶν τὴν χώραν καταπονούμενοι, πάλιν κἀνταῦθα θεσμῷ δικαιοσύνης ἄνδρας ἐξισωτὰς κατέπεμπε, τοὺς τὸ ἀζήμιον τοῖς δεηθεῖσι παρέξοντας.

## Caput IV.

*Quomodo in pecuniariis causis, iis qui causa ceciderant, ipse de suo largiebatur.*

QUinetiam quoties inter duos litigantes sententiam pronuntiaverat; ne fortè is qui causa ceciderat, tristior eo secundùm quem lis dicta erat abscederet, ex propriis bonis donabat victis, interdum prædia, nonnunquam pecunias: hac ratione efficiens, ut victus non minus quàm is qui causam obtinuerat, lætus domum rediret, utpote qui in conspectum Principis venire meruisset. Neque enim fas esse existimabat, ut qui coram tanto Principe stetisset, mæstus unquam ac tristis recederet. Proinde uterque litigantium læto ac renidenti vultu ex judicio redibat: & Imperatoris animi magnitudo cunctis admirationi erat.

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι τοῖς ἐν χρηματικαῖς δίκαις ἡττηθεῖσιν, αὐτὸς ἐξ οἰκείων ἐχαρίζετο.

C ἌΛλοις δικάσας βασιλεὺς, ὡς ἂν μὴ τὸ ληφθὲν παρ' αὐτοῦ μέρος ἧττον ἀπαλλάττοιτο, χαίρων ἐδωρεῖτο τοῦ νενικηκότος ἐξ οἰκείων τοῖς νενικημένοις, ἄρτι μὲν κτήματα, ἄρτι δὲ χρήματα. τοῦ κρατήσαντος δίκῃ ἐξ ἴσου χαίρειν τὸν ἡττηθέντα παρασκευάζων, ὡς ἂν αὐτοῦ θέας ἀξιωθέντα· μὴ γὰρ ἐξεῖναι ἀλλὰ τοσούτῳ βασιλεῖ παραστάντα, κατηφῆ ποτε καὶ λυπηρὸν ἀπαλλάττεσθαι. οὕτω δ' ἄμφω φαιδροῖς καὶ μειδιῶσι προσώποις ἀνεχώρουν τῆς δίκης. θαῦμα δ' ἐκράτει τοὺς πάντας τῆς βασιλέως μεγαλονοίας. D

## Caput V.

*Scytharum per signum crucis devictorum subactio.*

QUid hic necesse est quasi obiter commemorare, quomodo ille barbaras gentes sub Imperii Rom. ditioné redegit: qualiter indominatas antehac, nec ulli unquam parêre suetas Scytharum Sarmatarumque nationes, primus sub jugum misit, ac per vim eò adegit, ut vel inviti dominos agnoscerent Roma-

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

Σκυθῶν ὑποταγὴ διὰ τοῦ σημείου τοῦ σωτῆρος νικηθέντων.

ΤΙ δὲ δεῖ μέχρι λόγου πάρεργον ποιεῖσθαι, ὡς τὰ βάρβαρα φῦλα τῇ Ῥωμαίων ὑπέταττεν ἀρχῇ. ὡς τὰ Σκυθῶν καὶ Σαυροματῶν γένη μὴ πρότερον δουλεύειν μεμαθηκότα, πρῶτος αὐτὸς ὑπὸ ζυγὸν ἤγαγε, δεσπότας ἡγεῖσθαι Ῥωμαίους, καὶ μὴ θέλοντας ἀναγκάσας·

ναϊκάσας. Σκύθαις μὲν γὰρ καὶ δασμοὺς οἱ πρόσθεν ἐτέλουν ἄρχοντες. Ῥωμαῖοί τε βαρβάροις ἐδούλευον, εἰσφοραῖς ἐτησίοις. οὐκ ἦν δ' ἂν τοῦτο βασιλεῖ φορητὸς ὁ λόγος. οὐδὲ τῷ νικητῇ καλὸν ἐνομίζετο, ταῦτα τοῖς ἔμπροσθεν προσφέρειν· τῷ δ' αὐτοῦ ἐπιθαρρῶν Σωτῆρι, τὸ νικητικὸν τρόπαιον καὶ τούτοις ἐπανατείνας, ἐν ὀλίγῳ καιρῷ πάντας παρεστήσατο. ἄρτι μὲν τοὺς ἀφηνιῶντας, στρατιωτικῇ σωφρονίσας χειρί. ἄρτι δὲ λογικαῖς πρεσβείαις τοὺς λοιποὺς ἡμερώσας, ἐξ ἀνόμου τε καὶ θηριώδους βίου, ἐπὶ τὸ λογικὸν καὶ νόμιμον μεθαρμοσάμενος. οὕτω δ' οὖν Σκύθαι B Ῥωμαίοις ἔγνωσάν ποτε δουλεύειν.

A nos. Scythis quidem superiores etiam Imperatores tributa pendebant; & barbaris Romani reipsa serviebant, annuam solventes pecuniam. Verùm Imperator hanc indignitatem ferre non potuit; nec victori Principi decorum esse existimavit, eadem pendere quæ priores Principes pependissent. Itaque Servatoris sui auxilio fretus, triumphali signo ac tropæo in eos etiam illato, brevi cunctos subegit. Ac resistentes quidem & contumaces armis domuit: reliquos prudentibus legationibus mitigans, à ferina legúmque experte vita B ad humanam civilemque traduxit. Hoc modo Scythæ Romanis tandem parere didicerunt.

## ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Σαυροματῶν ὑποταγή, προφάσει τῆς τῶν δούλων ἐπαναστάσεως.

ΣΑυρομάτας δ' αὐτὸς ὁ Θεὸς ὑπὸ τοῖς Κωνσταντίνου ποσὶν ἤλαυνεν, ὧδέ πη τοὺς ἄνδρας βαρβαρικῷ φρονήματι γαυρουμένους χειρωσάμενος. Σκυθῶν γὰρ αὐτοῖς ἐπαναστάντων, τοὺς οἰκέτας ὥπλιζον οἱ δεσπόται, πρὸς ἄμυναν τῶν πολεμίων· ἐπεὶ δ' ἐκράτουν οἱ δοῦ- C λοι, κατὰ τῶν δεσποτῶν ἤραντο τὰς ἀσπίδας, πάντας τ' ἤλαυνον τῆς οἰκείας· οἱ δὲ, λιμένα σωτηρίας οὐκ ἄλλον ἢ μόνον Κωνσταντῖνον εὕραντο· ὁ δ' οἷα σώζειν εἰδὼς, τούτους πάντας ὑπὸ τῇ Ῥωμαίων εἰσεδέχετο χώρᾳ, ἐν οἰκείοις τε κατέλεγε στρατοῖς τοὺς ἐπιτηδείους· τοῖς δ' ἄλλοις τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων εἵνεκα, χώρας εἰς γεωργίας διένεμεν· ὡς ἐπὶ καλῷ τὴν συμφορὰν αὐτοῖς ὁμολογεῖν γεγενῆσθαι, Ῥωμαϊκῆς ἐλευθερίας ἀντὶ βαρβάρου θηριωδίας ἀπολαύουσιν. οὕτω δὴ Θεὸς αὐτῷ παντοῖα φῦλα D βαρβάρων ὑπέταττε.

## Caput VI.

*Sarmatæ subacti, cum servi adversus dominos rebellassent.*

AT Sarmatas Deus ipse Constantini pedibus substravit, & homines barbarico fastu intumescentes hoc subegit modo. Nam cùm Scythæ bellum eis intulissent, Sarmatæ servos suos ut hostibus resisterent, armaverant. Servi partâ de hostibus victoriâ, arma in do- C minos vertere cœperunt, cunctósque patriis sedibus expulerunt. Hi verò nullum alium salutis portum quàm Constantinum reperere. Qui servare homines assuetus, universos intra fines Imperii Romani recepit. Et eos quidem qui idonei essent, militaribus copiis adscripsit: reliquis ad necessaria vitæ subsidia agros colendos assignavit. Adeò ut feliciter sibi cessisse calamitatem suam ipsi faterentur; quippe qui barbaricam feritatem Romana libertate mutassent. Hac ratione Deus plurimas barbarorum gentes ejus adjunxit D Imperio.

## ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Βαρβάρων διαφόρων πρεσβεῖαι, καὶ δωρεαὶ παρ' αὐτοῦ.

ΣΥνεχεῖς γοῦν ἁπανταχόθεν οἱ διαπρεσβευόμενοι, δῶρα τὰ παρ' αὐτοῖς πολυτελῆ διεκόμιζον. ὡς καὶ αὐτοὺς ποτὲ παρατυχόντας πρὸ τῆς αὐλείου τῶν βασιλείων πυλῶν, στοιχηδὸν ἐν τάξει περίβλεπτα σχήματα βαρβάρων ἑστῶτα θεάσασθαι· οἷς ἔξαλλος μὲν ἡ στολή. διαλλάττων δ' ὁ τῶν σχημάτων τρόπος. κόμη τε τῆς κεφαλῆς καὶ γενείου πάμπολυ διεστῶσα. βλοσυρὰ θ' ἡ προσώπων βάρβαρος καὶ καταπλη-

## Caput VII.

*Variorum Barbarorum legationes, & munera eis ab Imperatore donata.*

QUippe ex omnib⁹ locis Legati continuè ad eum accedebant; quæcumq; apud ipsos pretiosissima habentur, dona ei offerentes. Adeò ut nos ipsi pro foribus palatii, varias formas atque habitus Barbarorum ordine stantium aliquando conspexerimus: quorum & vestitus & ornatus dispar erat: coma itẽ & barba longè dissimilis. Torvus aspectus & barbarus ac terrorem incutiens: corporum enormis proceritas. Et alio-

rum quidem rubicundi vultus; aliorum verò nive ipsa candidiores. Nonnullis media quædam coloris inerat temperatura. Quippe Blemmyes & Indi atque Æthiopes, qui ut ait Homerus, bifariam divisi in extimo terrarum degunt, inter illos quos dixi barbaros conspiciebantur. Horum singuli quemadmodum in tabulis vulgò pingi videmus, seorsum quisq; ea ad Imperatorem afferebant, quæ apud ipsos in pretio sunt. Alii coronas aureas; alii diademata gemmis conserta: alii pueros flava cæsarie conspicuos; quidam barbaricas vestes auro & floribus intextas: hi equos, illi clypeos & hastas longas & sagittas & arcus. Atque his donis significabant, obsequium ac societatem armorum offerre se Imperatori si vellet. Ille verò à singulis oblata accipiens ac seponens, tot tantáque eis vicissim donabat, ut momento temporis ditissimos redderet eos qui dona attulissent. Sed & ex eorum numero nobilissimos quosque Romanis dignitatibus ornabat; adeo ut plerique illorum, obliti reditus in patriam, hic apud nos manere maluerint.

Ακλική τις ὄψις, σωμάτων θ' ἡλικίας ὑπερβάλλοντα μεγέθη· καὶ οἷς μὲν ἐρυθραίνετο τὰ πρόσωπα. οἷς δὲ λευκότερα χιόνος ἦν. οἷς δ' ἐν μέσῳ τῆς κράσεως. ἐπεὶ καὶ Βλεμμύων γένη, Ἰνδῶν τε καὶ Αἰθιόπων, οἳ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν, τῇ τῶν εἰρημένων ἐθεωρεῖτο ἱστορίᾳ. ἐν μέρει δὲ τούτων ἕκαστοι, ὥσπερ ἐν πίνακος γραφῇ, τὰ παρ' αὐτοῖς τίμια βασιλεῖ προσεκόμιζον. οἱ μὲν στεφάνους χρυσοῦς. οἱ δ' ἐκ λίθων διαδήματα τιμίων. ἄλλοι ξανθοκόμους παῖδας. οἱ δὲ χρυσῷ καὶ ἄνθεσι καθυφασμένας βαρβαρικὰς στολάς. οἱ δ' ἵππους. οἱ δ' ἀσπίδας καὶ δόρατα
B μακρὰ, καὶ βέλη καὶ τόξα. τὴν διὰ τούτων ὑπηρεσίαν τε καὶ συμμαχίαν βουλομένῳ βασιλεῖ παρέχειν ἐνδεικνύμενοι· ἃ δὴ παρὰ τῶν κομιζόντων ὑποδεχόμενος καὶ ἐντάττων, ἀντεδίδου τοσαῦτα βασιλεύς, ὡς ὑφ' ἕνα καιρὸν πλουσιωτάτους ἀποφῆναι τοὺς κομιζομένους· ἐτίμα δὲ καὶ Ῥωμαϊκοῖς ἀξιώμασι τοὺς ἐν αὐτοῖς διαφανεστέρους. ὡς τ' ἤδη πλείους τὴν ἐνταῦθα στέργειν διατριβήν, ἐπανόδου τῆς εἰς τὰ οἰκεῖα λήθην πεποιημένους.

## Caput VIII.

*Quòd Persarum Regi qui Legatos ad ipsum miserat, scripsit in gratiam Christianorum illic agentium.*

IAm vero cùm Rex etiam Persarum per Legatos notitiam ambiret Constantini, donáque ad eum misisset, pacis & amicitiæ signa; id agens scilicet ut cum illo fœdus iniret; hic etiam Imperator excellenti quadam animi utens magnitudine, eum qui prior honore ipsum affecerat, munerum magnificentiâ longè superavit. Cúmque apud Persas crebras esse Ecclesias Dei accepisset, & numerosam populorum multitudinem intra Christi ovilia congregari; hoc nuntio magnopere delectatus, utpote communis quidam omnium ubique agentium hominum tutor & curator, ad illa etiam loca providentiam suam pro cunctorum commodis laborantem extendit.

C

## ΚΕΦΑΛΑΙΟΝ Η.

Ὅτι καὶ πρεσβευσαμένῳ τῷ Περσῶν βασιλεῖ, ὑπὲρ τῶν Χριστιανῶν ἔγραψεν.

ΕΠειδὴ δὲ καὶ ὁ Περσῶν βασιλεὺς Κωνσταντίνῳ γνωρίζεσθαι διὰ πρεσβείας ἠξίου, δῶρά τε καὶ οὗτος σπονδῶν φιλικῶν διεπέμπετο σύμβολα, ἔπραττε δὲ τὰς συνθήκας κἀπὶ τούτοις βασιλεύς, ὑπερβολῇ φιλοτίμῳ τὸν τῆς τιμῆς προεξαρξάμενον νικῶν ταῖς ἀντιδόσεσι. πυθόμενός γέ τοι παρὰ τῷ Περσῶν ἔθνει πληθύνειν τὰς τοῦ Θεοῦ ἐκκλησίας, λαούς τε μυριάνδρους ταῖς Χριστοῦ ποίμναις ἐναγελάζεσθαι, χαίρων
D ἐπὶ τῇ τούτων ἀκοῇ, οἷά τις κοινὸς τῶν ἁπανταχοῦ κηδεμών, πάλιν κἀνταῦθα τὴν ὑπὲρ τῶν ἁπάντων εἰσῆγε πρόνοιαν.

## Caput IX.

*Epistola Constantini ad Saporem Persarum Regem, summâ cum pietate Deum & Christum confitentis.*

*Exemplum Epistolæ ad Regem Persarum.*

EGo quidem divinam custodiens fidem, lucis veritatis particeps fio; & veritatis fidem præviam sequens, ad

## ΛΕΦΑΛΑΙΟΝ Θ.

Κωνσταντίνου Αὐγούστου πρὸς Σαπώρην τὸν βασιλέα Περσῶν ὁμολογοῦντα εἰς Θεὸν καὶ Χριστὸν εὐσεβέστατα.

Ἀντίγραφον πρὸς τὸν βασιλέα Περσῶν.

ΤΗν θείαν πίστιν φυλάσσων, τοῦ τῆς ἀληθείας φωτὸς μεταλαγχάνω. τῷ δ' ἀλη-

θείας φωτὸς ὁδηγούμενος, τὴν θείαν πίστιν ἐπιγινώσκω· τοιγαροῦν τούτοις ὡς τὰ πράγματα βεβαιοῖ, τὴν ἁγιωτάτην θρησκείαν γνωρίζω. διδάσκαλον τῆς ἐπιγνώσεως τοῦ ἁγίου Θεοῦ ταύτην τὴν λατρείαν ἔχειν ὁμολογῶ. τούτου τοῦ Θεοῦ τὴν δύναμιν ἔχων σύμμαχον, ἐκ τῶν περάτων τοῦ Ὠκεανοῦ ἀρξάμενος, πᾶσαν ἐφεξῆς τὴν οἰκουμένην βεβαίοις σωτηρίοις ἐλπίσι διήγειρα. ὡς ἅπαντα ὅσα ὑπὸ τοσούτοις τυράννοις δεδουλωμένα, ταῖς καθημεριναῖς συμφοραῖς ἐνδόντα, ἐξίτηλα ἐγεγόνει, (ταῦτα τὴν ἐπὶ τὸ κρεῖττον δι᾽ ἐμοῦ βελτίωσιν δέξασθαι.) τοῦτον τὸν Θεὸν ἀθανάτῳ μνήμῃ τιμᾶν ὁμολογῶ· τοῦτον ἀκραιφνεῖ καὶ καθαρᾷ διανοίᾳ ἐν τοῖς ἀνωτάτω τυγχάνειν ὑπεραυγάζομαι.

A divinæ fidei notitiam pervenio. Hac ratione sanctissimam, ut res ipsæ confirmant, religionem agnosco; cujus cultum mihi magistrum esse profiteor ad sanctissimi Numinis notitiam hauriendam. Hujus ergo Dei auxilio fultus, ab ultimis usque Oceani progressus finibus, universum orbem terrarum ad firmam spem salutis erexi. Adeò ut provinciæ omnes, quæ tot tyrannorum dominatione oppressæ, & continuis attritæ calamitatibus propemodum defecerant, Reipublicæ vindicem tandem nactæ, velut quibusdam medicinæ fomentis restitutæ sint. Hunc ego Deum prædico: cujus vexillum Deo dicatus exercitus meus, humeris gestat, & quò B æquitatis ratio postulat fertur; & ob hæc ipsa illico celeberrimas victorias refert pro mercede. Hunc Deum sempiterna memoria coli à me profiteor: hunc in altissima sede positum pura & candida mente contemplor.

## ΚΕΦΑΛΑΙΟΝ Ι'.

*Ὅτι κατὰ εἰδώλων, καὶ περὶ Θεοῦ δοξολογίας.*

Τοῦτον ἐπικαλοῦμαι γόνυ κλίνας. φεύγων μὲν πᾶν αἷμα βδελυκτὸν, καὶ ὀσμὰς ἀηδεῖς καὶ ἀποτροπαίους. πᾶσαν δὲ γεώδη λαμπηδόνα ἐκκλίνων· οἷς ἅπασιν ἡ ἀθέμιτος καὶ ἄρρητος πλάνη χραινομένη, πολλοὺς τῶν ἐθνῶν, καὶ ὅλα γένη κατέρριψε, τοῖς κατωτάτω μέρεσι παραδοῦσα. ἃ γὰρ ὁ τῶν ὅλων Θεὸς, προνοίᾳ τῶν ἀνθρώπων, διὰ φιλανθρωπίαν οἰκείαν χρείας ἕνεκα εἰς τοὐμφανὲς παρήγαγε, ταῦτα πρὸς τὴν ἑκάστου ἐπιθυμίαν ἕλκεσθαι οὐδαμῶς ἀνέχεται· καθαρὰν δὲ μόνην διάνοιαν καὶ ψυχὴν ἀκηλίδωτον παρὰ ἀνθρώπων ἀπαιτεῖ, τὰς τῆς ἀρετῆς καὶ εὐσεβείας πράξεις ἐν τούτῳ σταθμώμενος. ἐπιεικείας γὰρ καὶ ἡμερότητος ἔργοις ἀρέσκεται. πράους φιλῶν, μισῶν τοὺς ταραχώδεις. ἀγαπῶν πίστιν, ἀπιστίαν κολάζων. πᾶσαν μετ᾽ ἀλαζονείας δυναστείαν καταρρηγνὺς, ὕβριν ὑπερηφάνων τιμωρεῖται. τοὺς ὑπὸ τύφου ἐπαιρομένους ἐκ βάθρων ἀναιρεῖ, ταπεινόφροσι καὶ ἀνεξικάκοις τὰ πρὸς ἀξίαν νέμων. οὕτω καὶ βασιλείαν δικαίαν περὶ πολλοῦ ποιούμενος, ταῖς παρ᾽ ἑαυτοῦ ἐπικουρίαις κρατύνει, σύνεσίν τε βασιλικὴν τῷ γαληναίῳ τῆς εἰρήνης διαφυλάττει.

## CAPUT X.

*Contra simulacra, & de glorificatione Dei.*

Hunc flexis genibus invoco; omnem abominandum cruorem aversans, & odores insuaves ac dete- C standos; omnem denique terrenum fulgorem procul fugiens: quibus omnibus quasi sordibus pollutus scelestus ac nefandus superstitionis error, multos gentilium, totásque adeò nationes ad ima tartara detrusit. Etenim quæ summus omnium Deus pro sua erga homines benignitate atque providentia ad communem usum protulit in lucem, ea ad cujusque libidinem rapi haudquaquam sustinet. Sed puram duntaxat mentem & animum immaculatum ab hominibus postulat, hisque virtutis & pietatis actus quasi librâ quâdam expendit. Quippe modestiæ & mansuetudinis D operibus delectatur; mites diligens; turbarum auctores odio habens. Et fidem quidem amat, infidelitatem verò supplicio afficit. Omnem cum arrogantia conjunctam dominationem destruens, superborum contumeliam punit. Et homines quidem insolentia elatos ab ipsis ut ita dicam fundamentis subruit: humiles verò & injuriarum patientes, meritis præmiis afficit. Hinc est quod Imperium justum magni faciens, auxilio suo illud corroborat, & prudentiam regalem tranquillitate pacis perpetuò fovet.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

A

## Caput XI.

*Contra tyrannos & persecutores, & de captivitate Valeriani.*

NEc mihi ipse videor errare mi frater, qui hunc unum Deum profitear omnium auctorem ac parentem. Quem multi ex iis qui apud nos Imperium tenuerunt, insano errore acti, pernegare quidem conati sunt. Sed eos omnes hujusmodi exitus quasi vindex oppressit, ut universum nunc hominum genus, illorum Principum calamitates exempli vice proponat iis qui illos imitari studuerint. Horum unus mihi videtur fuisse, ille quem divina vindicta instar fulminis ingruens, fugatum ex nostris regionibus vestras in terras transportavit: qui quidem suo dedecore atque ignominiâ tropæum illud tantopere à vobis jactatum constituit.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Ὅτι κατὰ τυράννων καὶ διωκτῶν, καὶ περὶ Οὐαλεριανοῦ αἰχμαλωτισθέντος.

ΟΥ μοι δοκῶ πλανᾶσθαι ἀδελφέ μου, τοῦτον ἕνα Θεὸν ὁμολογῶν, πάντων ἀρχηγὸν καὶ πατέρα· ὃν πολλοὶ τῶν τῇδε βασιλευσάντων μανιώδεσι πλάναις ὑπαχθέντες ἐπεχείρησαν ἀρνήσασθαι· ἀλλ' ἐκείνους μὲν ἅπαντας τοιοῦτον τιμωρὸν τέλος κατανάλωσεν, ὡς πᾶν τὸ μετ' ἐκείνους ἀνθρώπων γένος τὰς ἐκείνων συμφορὰς ἀντ' ἄλλου παραδείγματος τοῖς παρὰ τούτους τὰ ὅμοια ζηλοῦσι τίθεσθαι. B τούτων ἐκείνων ἕνα ἡγοῦμαι γεγονέναι, ὅνπερ τις σκηπτὸς, ἡ θεία μῆνις τῶν τῇδε ἐξελάσασα, τοῖς ὑμετέροις μέρεσι παραδέδωκε, τὸ ἐπ' αὐτῷ αἰσχύνης πολυθρύλλητον τὸ παρ' ὑμῖν τρόπαιον ἀποφήναντα.

## Caput XII.

*Quod persecutorum ruinam viderit, quodque jam ob Christianorum pacem lætatur.*

ENimverò commodè factum videtur, quod nostrâ quoque ætate hujusmodi homines manifestissimè pœnas dederunt. Nam & ego spectator fui exitus illorum, qui nuper iniquissimis jussionibus populum Deo consecratum exagitaverant. Proinde maximas Deo gratias ago, cujus singulari providentia cuncti mortales qui divinam legem observant, reddita sibi pace exultant ac gestiunt. Ex quo planè mihi persuadeo, rectissimè omnia ac tutissimè se habere, cùm per puram ac sinceram illorum religionem perque concordem de divino Numine sententiam omnes homines ad seipsum aggregare Deus dignetur.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Ὅτι τῶν μὲν διωκτῶν εἶδε τὰς πτώσεις, εὐθυμεῖ δὲ νῦν διὰ τὴν τῶν Χριστιανῶν εἰρήνην.

C ΑΛλὰ γὰρ εἰς καλὸν ἐκεῖνο περιεχώρησε, τὸ ἐν τῷ καθ' ἡμᾶς αἰῶνι τὴν τῶν τοιούτων τιμωρίαν περιφανῆ δειχθῆναι. ἐπεῖδον γὰρ καὶ αὐτὸς τῶν ἔναγχος ἀθεμίτοις προστάγμασι τὸν τῷ Θεῷ ἀνακείμενον λαὸν ἐκταραξάντων. διὸ δὴ καὶ πολλὴ χάρις τῷ Θεῷ, ὅτι τελείᾳ προνοίᾳ πᾶν τὸ ἀνθρώπινον τὸ θεραπεῦον τὸν θεῖον νόμον, ἀποδοθείσης αὐτοῖς τῆς εἰρήνης, ἀγάλλεται καὶ γαυριᾷ. ἐντεῦθεν καὶ ἡμῖν αὐτοῖς πέπεισμαι, ὡς ὅτι κάλλιστα καὶ ἀσφαλέστατα ἔχειν ἅπαντα, ὁπότε διὰ τῆς ἐκείνων καθαρᾶς D τε καὶ δοκίμου θρησκείας, ἐκ τῆς περὶ τὸ θεῖον συμφωνίας πάντας εἰς ἑαυτὸν ἀγείρειν ἀξιοῖ.

## Caput XIII.

*Exhortatio ut Christianos in Perside agentes benevolè complectatur.*

QUanta porro voluptate me affici censes, cum audio id quod mihi maxime in votis est, horum hominum multitudine, Christianorum scilicet (de his enim in præsentia loquor) nobilissima quæque Persidis loca longè latéque esse decorata. Opto igitur ut & tuæ res quam florentissimæ, & illorũ perinde sint florentissimæ: hoc est ut tuæ, sic

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Παρακλήσεις ὥστε τοὺς παρ' αὐτῷ Χριστιανοὺς ἀγαπᾶν.

ΤΟύτου τοῦ καταλόγου τῶν ἀνθρώπων λέγω δὴ τῶν Χριστιανῶν, ὧν ὑπὲρ τούτων ὁ πᾶς μοι λόγος, πῶς οἴει με ἥδεσθαι ἀκούοντα, ὅτι καὶ τῆς Περσίδος τὰ κράτιστα ἐπὶ πλεῖστον αὐτοῖς, ὥσπερ ἐστί μοι βουλομένῳ, κεκόσμηται. σοί τ' οὖν ὅτι κάλλιστα, ἐκείνοις θ' ὡσαύτως ὑπάρχοι τὰ κάλλιστα, ὅ, τι σοί κἀκείνοις. οὕτω γὰρ ἕξεις



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

τῶν ὅλων δεσπότην πατέρα Θεὸν, ἵλεω καὶ εὐμενῆ. τούτους τοιγαροῦν ἐπειδὴ τοσοῦτος εἶ, σοὶ παρατίθεμαι, τοὺς αὐτοὺς τούτους, ὅτι καὶ εὐσεβείᾳ ἐπίσημος εἶ, ἐγχειρίζω· τούτους ἀγάπα ἁρμοδίως τῆς σεαυτοῦ φιλανθρωπίας. αὐτῷ τε γὰρ καὶ ἡμῖν ἀπερίγραπτον δώσεις διὰ τῆς πίστεως τὴν χάριν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

*Ὅπως χριστιανοῖς μὲν ἦν εἰρήνη, σπουδῇ τῆς Κωνσταντίνου προσευχῶν.*

ΟΥτω δὴ λοιπὸν τῶν ἁπανταχοῦ τῆς οἰκουμένης ἐθνῶν ὥσπερ ὑφ᾽ ἑνὶ κυβερνήτῃ διευθυνομένων, καὶ τὴν ὑπὸ τῷ θεράποντι τοῦ Θεοῦ πολιτείαν ἀσπαζομένων, μηδενὸς μηκέτι παρενοχλοῦντος τὴν Ῥωμαίων ἀρχὴν, ἐν εὐσταθεῖ καὶ ἀταράχῳ βίῳ τὴν ζωὴν διῆγον οἱ πάντες. βασιλεὺς δὲ κρίνας αὐτῷ τὰ μεγάλα συντείνειν πρὸς τὴν τῶν ὅλων φυλακὴν τὰς τῶν θεοσεβῶν εὐχὰς, ταύτας ἀναγκαίως ἐπορίζετο. αὐτός θ᾽ ἱκέτης γιγνόμενος τοῦ Θεοῦ, τοῖς τῶν ἐκκλησιῶν προέδροις τὰς ὑπὲρ αὐτοῦ λιτὰς ποιεῖσθαι ἐγκελευόμενος.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕʹ.

*Ὅτι καὶ ἐν νομίσμασι καὶ ἐν εἰκόσιν, ὡς εὐχόμενον ἑαυτὸν ἐχάραττεν.*

ΟΣη δ᾽ αὐτοῦ τῇ ψυχῇ πίστεως ἐνθέου ὑπεστήρικτο δύναμις, μάθοι ἄν τις καὶ ἐκ τοῦδε λογιζόμενος, ὡς ἐν τοῖς χρυσοῖς νομίσμασι τὴν αὐτοῦ αὐτὸς εἰκόνα ὧδε γράφεσθαι διετύπου. ὡς ἄνω βλέπειν δοκεῖν ἀνατεταμένος πρὸς Θεὸν, τρόπον εὐχομένου. τούτου μὲν οὖν τὰ ἐκτυπώματα καθ᾽ ὅλης τῆς Ῥωμαίων διέτρεχεν οἰκουμένης· ἐν αὐτοῖς δὲ βασιλείοις κατά τινας πύλας ἐν ταῖς εἰς τὸ μετέωρον τῶν προπύλων ἀνακειμέναις εἰκόσιν, ἑστὼς ὄρθιος ἐγράφετο. ἄνω μὲν εἰς οὐρανὸν ἐμβλέπων. τὼ χεῖρε δ᾽ ἐκτεταμένος εὐχομένου σχήματι.

## ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

*Ὅτι καὶ ἐν εἰδωλείοις εἰκόνας αὐτοῦ θεῖναι, νόμῳ διεκώλυσεν.*

ΩΔε μὲν οὖν αὐτὸς ἑαυτὸν κἀν ταῖς γραφαῖς εὐχόμενον ἀνιστόρει· νόμῳ δ᾽ ἀπείργει εἰκόνας αὐτοῦ εἰδώλων ἐν ναοῖς ἀνατίθεσθαι. ὡς μὴ δὲ μέχρι σκιαγραφίας τῇ πλάνῃ τῶν ἀπειρημένων μολύνοιτο ἡ γραφή.

A illorum. Hoc enim modo summum omnium Dominum ac parentem Deum, propitium ac placatum habiturus es. Hos itaque, quandoquidem talis tantusque es, tibi commendo. Hos quandoquidem pietate excellis, tibi in manum trado. Hos pro tua humanitate complectere. Sic enim & tibi ipsi & nobis, hac tua fide immensum beneficium præstabis.

## CAPUT XIV.

B *Quomodo assiduis Constantini precibus pax data est Christianis.*

IN hunc modum cùm omnes ubique gentes instar navis cujusdam, unius gubernatoris regerentur industriâ, & Imperium ac religionem famuli Dei libentissimè amplecterentur; nec ullus amplius Romanum Imperium perturbaret, cuncti posthac tranquillam & quietam vitam agebant. Imperator verò cùm piorum hominum preces ad salutem Reipublicæ plurimum conferre existimaret, eas quoq; necessariò conciliandas sibi putavit. Itaque & ipse supplex Dei opem imploravit; & Præsidibus Ecclesiarum præcepit, ut pro se
C preces ad Deum funderent.

## CAPUT XV.

*Quòd in nummis & imaginibus, precantis habitu effingi se jussit.*

QUanta porrò divinæ fidei vis ac virtus in ejus animo insederit, vel ex hoc uno conjici facilè potest, quòd in aureis nummis exprimi se jussit vultu in cælum sublato, & manibus expansis instar precantis. Et hujus quidem formæ nummi per universum orbem Roma-
D num cucurrerunt. In ipsa vero regia juxta quasdam januas, in imaginibus ad ipsum vestibuli fastigium positis depictus est stans; defixis quidem in cælum oculis; manibus autem expansis precantis in modum.

## CAPUT XVI.

*Quòd imagines suas in templis Idolorum poni, lege lata prohibuit.*

SIc igitur ille se Deo supplicantem etiam in tabulis pictis exhibuit. Quinetiam lege lata vetuit imagines suas in idolorum templis dedicari; ne fortè errore vetitæ superstitionis, vel inani specie tenus inquinaretur.

## Caput XVII.

*Precationes in palatio, & recitatio sacrarum Scripturarum.*

VErùm his longè augustiora perspiciet quicumq; attendere voluerit, qualiter ille in palatio quandam velut Ecclesiam Dei constituit. Ac diligentia quidem & alacritate, præibat cunctis qui in Ecclesiam illam erant adscripti: & sacros Codices in manus sumens oracula à Deo edita attento animo meditabatur. Posthac solemnes preces cum universo aulicorum cœtu recitabat.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ.

*Ἐν παλατίῳ προσευχαὶ καὶ θείων γραφῶν ἀναγνώσεις.*

Σκέψαιτο δ᾽ ἄν τις τὰ τούτων σεμνότερα διαγνοὺς ὡς ἐν αὐτοῖς τοῖς βασιλείοις ἐκκλησίας Θεοῦ τρόπον διέθετο, σπουδῆς ἐξάρχων αὐτὸς τῶν ἔνδον ἐκκλησιαζομένων· ὑφηγεῖτο λαμβάνων τὰς βίβλους, τῇ τῶν θεοπνεύστων λογίων θεωρίᾳ προσανεῖχε τὸν νοῦν, εἶτ᾽ εὐχὰς ἐνθέσμοις σὺν τοῖς τὸν βασίλειον οἶκον πληροῦσιν ἀπεδίδου.

## Caput XVIII.

*Diem Dominicum & sextam feriam honorari præcipit.*

DIem verò precationibus congruum haberi constituit, eum qui primus est & caput ceterorum, & qui reverà dominicus est ac salutaris. Præterea Diaconos & Deo consecratos ministros, qui vitæ gravitate & reliquis virtutibus ornati essent, totius domus custodes ordinavit. Denique Protectores & stipatores fidi, benevolentiæ & fidei armis instructi, Imperatorem ipsum pietatis magistrum habebant; & salutarem ac Dominicum diem perinde honorabant; eoque die precationes Imperatori gratas ad Deum fundebant. Reliquos etiam mortales, ad idem faciendum incitavit Princeps beatissimus; utpote qui id maximè in votis haberet, ut universos homines paulatim Dei cultores efficeret. Atque ob hanc causam cunctis sub Imperio Romano degentibus præcepit, ut Dominico die feriarentur; utque diem qui est pridie Sabbati similiter honorarent: in memoriam, ut videtur, earum rerum, quæ à communi omnium Servatore illis diebus gestæ esse perhibentur. Porrò cùm exercitum omnem ad salutaris diei, qui lucis ac Solis appellatur nomine, religiosum cultum institueret; iis quidem qui fidem divinitus inspiratam amplexi erant, exercendi se ex more institutóque Ecclesiæ Dei tempus atque otium indulsit, quo absque ullo impedimento orationibus vacarent.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

*Τῆς κυριακῆς τὴν ἡμέραν καὶ παρασκευῆς, νομοθετεῖ τιμᾶν.*

ΚΑὶ ἡμέραν δ᾽ εὐχῶν ἡγεῖσθαι κατάλληλον, τὴν κυρίαν ἀληθῶς καὶ πρώτην ὄντως κυριακήν τε καὶ σωτήριον, διετύπου. διάκονοι δ᾽ αὐτῷ καὶ ὑπηρέται Θεῷ καθιερωμένοι, βίου τε σεμνότητι καὶ ἀρετῇ πάσῃ κόσμιοι ἄνδρες, φύλακες τοῦ παντὸς οἴκου καθίσταντο, δορυφόροι τε πιστοὶ σωματοφύλακες, τρόποις εὐνοίας [καὶ] πίστει καθωπλισμένοι, βασιλέα διδάσκαλον εὐσεβῶν ἐδιδάσκοντο τρόπων. τιμῶντες οὐχ ἧττον καὶ αὐτοὶ τὴν σωτήριον καὶ κυριακὴν ἡμέραν, εὐχὰς τὰς ἐν αὐταῖς συντελοῦντες τὰς βασιλεῖ φίλας. ταὐτὸν δὲ πράττειν καὶ πάντας ἀνθρώπους ὁ μακάριος, ὥσπερ εὐχὴν ταύτην πεποιημένος, ἠρέμα σύμπαντας ἀνθρώπους θεοσεβεῖς ἀπεργάσασθαι. διὸ τοῖς ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν πολιτευομένοις ἅπασι, σχολὴν ἄγειν ταῖς ἐπωνύμοις τοῦ σωτῆρος ἡμέραις ἐνουθέτει. ὁμοίως δὲ καὶ τὰς τοῦ σαββάτου τιμᾶν. μνήμης ἕνεκά μοι δοκεῖν τῶν ἐν ταύταις τῷ κοινῷ σωτῆρι πεπρᾶχθαι μνημονευομένων. τὴν δέ γε σωτήριον ἡμέραν, ἣν καὶ φωτὸς εἶναι καὶ ἡλίου ἐπώνυμον συμβαίνει, τὰ στρατιωτικὰ πάντα διὰ σπουδῆς τιμᾶν διδάσκων, τοῖς μὲν τῆς ἐνθέου μετέχουσι πίστεως, ἀκωλύτως τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ καρτερεῖν μετεδίδου σχολῆς, ἐφ᾽ ᾧ τὰς εὐχὰς, μηδενὸς αὐτοῖς ἐμποδὼν γιγνομένου, συντελεῖν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Ὅπως καὶ τοὺς ἐθνικοὺς στρατιώτας, ἐν κυριακαῖς εὔχεσθαι προσέταξε.

Τοῖς καὶ μήπω τοῦ θείου λόγου μετασχοῦσιν, ἐν δευτέρῳ νόμῳ διεκελεύετο, τὰς κυριακὰς ἡμέρας ἐν προαστείοις ἐπὶ καθαροῦ προϊέναι πεδίου. κἀνταῦθα μεμελετημένην εὐχὴν ἐξ ἑνὸς συνθήματος ὁμοῦ τοὺς πάντας ἀναπέμπειν Θεῷ· μήτε γὰρ δόρασι χρῆναι, μὴ τε πανοπλίαις, μὴ δ' ἀλκῇ σωμάτων τὰς ἑαυτῶν ἐξάπτειν ἐλπίδας. τὸν δ' ἐπὶ πάντων εἰδέναι Θεόν, παντὸς ἀγαθοῦ δοτῆρα καὶ αὐτῆς νίκης· ᾧ δὴ τὰς ἐνθέσμους προσήκειν ἀποδιδόναι εὐχάς. ἄνω μὲν αἴροντας εἰς οὐρανὸν μετεώρους τὰς χεῖρας. ἀνωτάτω δ' ἐπὶ τὸν οὐράνιον βασιλέα τοὺς τῆς διανοίας παραπέμποντας ὀφθαλμούς. κἀκεῖνον ταῖς εὐχαῖς νίκης δοτῆρα δὴ σωτῆρα, φύλακά τε καὶ βοηθὸν ἐπιβοωμένους. καὶ τῆς εὐχῆς δὲ τοῖς στρατιωτικοῖς ἅπασι διδάσκαλος ἦν αὐτός, Ῥωμαίᾳ γλώττῃ τοὺς πάντας ὧδε λέγειν ἐγκελευσάμενος.

## Caput XIX.

*Quomodo etiam Gentiles milites diebus Dominicis orare docuerit.*

Reliquis vero qui divinæ fidei doctrinam nondum susceperant, altera lege præcepit, ut Dominicis diebus in campum purum procederent, & precationem quam antea didicissent, simul omnes signo dato ad Deum funderent. Neque enim hastis & armatura, nec corporis viribus confidere eos oportere: sed summum omnium Deum, auctorem bonorum omnium ipsiúsque adeò victoriæ agnoscendum esse; eique solemnes preces persolvi debere, manibus quidem in cælum sublatis; mentis autem oculis altius ad ipsum usque cæli Regem erectis. Hunc victoriæ auctorem; hunc Servatorem Custodémque & Adjutorem invocare in precationibus eos debere. Ipse porro precationis formam cunctis militibus tradidit; jubens ut Latino sermone omnes pronuntiarent ad hunc modum.

## ΚΕΦΑΛΑΙΟΝ Κ'.

Εὐχῆς ῥήματα, στρατιώταις ὑπὸ Κωνσταντίνου δοθείσης.

Σὲ μόνον οἴδαμεν Θεόν. σὲ βασιλέα γνωρίζομεν. σὲ βοηθὸν ἀνακαλούμεθα· παρὰ σοῦ τὰς νίκας ἠράμεθα. διὰ σοῦ κρείττους τῶν ἐχθρῶν κατέστημεν. σοὶ τὴν τῶν ὑπαρξάντων ἀγαθῶν χάριν γνωρίζομεν. σὲ καὶ τῶν μελλόντων ἐλπίζομεν. σοῦ πάντες ἱκέται γινόμεθα. τὸν ἡμέτερον βασιλέα Κωνσταντῖνον, παῖδάς τε αὐτοῦ θεοφιλεῖς, ἐπὶ μήκιστον ἡμῖν βίου, σῶον καὶ νικητὴν φυλάττεσθαι ποτνιώμεθα. τοιαῦτα κατὰ τὴν τοῦ φωτὸς ἡμέραν ἐνομοθέτει πράττειν τὰ στρατιωτικὰ τάγματα, καὶ τοιαύτας ἐδίδασκεν ἐν ταῖς πρὸς Θεὸν εὐχαῖς ἀφιέναι φωνάς.

## Caput XX.

*Forma precationis à Constantino militibus tradita.*

Te solum agnoscimus Deum; te Regem profitemur; te Adjutorem invocamus. Tui muneris est quod victorias retulimus, quòd hostes superavimus. Tibi ob præterita jam bona gratias agimus; & futura à te speramus. Tibi omnes supplicamus, utque Imperatorem nostrum Constantinum, unà cum piissimis ejus liberis incolumem & victorem diutissimè nobis serves, rogamus. Hæc die Solis à militaribus numeris fieri, & hæc verba inter precandum ab iis proferri præcepit.

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ἐν τοῖς στρατιωτῶν ὅπλοις σημεῖα τοῦ σταυροῦ τοῦ σωτῆρος.

Ἤδη δὲ καὶ ἐπ' αὐτῶν τῶν ὅπλων, τὸ τοῦ σωτηρίου τροπαίου σύμβολον κατασημαίνεσθαι ἐποίει. τοῦ τε ἐνόπλου στρατοῦ προπομπεύειν, χρυσῶν μὲν ἀγαλμάτων ὁποῖα πρότερον αὐτοῖς ἔθος ἦν, τὸ μηδέν. μόνον δὲ τὸ σωτήριον τρόπαιον.

## Caput XXI.

*In armis militum signum Dominicæ crucis exprimi jubet.*

Quin etiam in ipsis armis, salutaris tropæi signum jussit effingi. Utq; ante instructum armis exercitum, non aurea signa & simulacra, ut antea moris erat, sed solum crucis tropæum præferretur, mandavit.

A

## Caput XXII.

*Studium precandi & cultus festi Paschalis.*

IPse verò utpote sacrorum mysteriorum particeps, in intimis palatii sui penetralibus quotidie statis horis sese includens, remotis arbitris solus cum solo colloquebatur Deo; & in genua provolutus, ea quibus opus haberet supplici prece postulabat. In ipsis autem salutiferæ festivitatis diebus, disciplinæ atque exercitationum vigorem intendens, cunctis animi & corporis viribus collectis, pontificis atque hierophantæ munere fungebatur. Et ipse quidem ceteris omnibus præibat ad festi celebrationem. Sacram autem vigiliam in diurnum splendorem converterat, accensis tota urbe cereorum quibusdam columnis per eos quibus id operis erat injunctum. Lampades quoque accensæ cuncta passim loca illustrabant; adeò ut hæc mystica vigilia quovis vel splendidissimo die splendidior redderetur. Simul verò ac dies illuxerat: Servatoris nostri beneficentiam imitari studens, universis gentibus, provinciis ac populis largam manum porrigebat; opulentissima donans omnibus munera.

## ΚΕΦΑΛΑΙΟΝ ΚΒ.

*Σπουδὴ προσευχῆς, καὶ τιμὴ τῆς τοῦ Πάσχα ἑορτῆς.*

ΑΥτὸς δ' οἷά τις μέτοχος ἱερῶν ὀργίων, ἀπορρήτοις εἴσω τοῖς αὐτοῦ βασιλείων ταμείοις, καιροῖς ἑκάστης ἡμέρας τακτοῖς αὐτὸν ἐγκλείων, μόνος μόνῳ τῷ αὐτοῦ προσωμίλει Θεῷ. ἱκετηρίαις τε δεήσεσι γονυπετῶν, καθικετεύσωπει ὧν ἐδεῖτο τυχεῖν. ταῖς δ' ἐπὶ σωτηρίῳ ἑορτῆς ἡμέραις ἐπιτείνων τὴν ἄσκησιν, πάσῃ ῥώμῃ ψυχῆς καὶ σώματος θείας ἱερο-
B φαντίας ἐτελεῖτο, ὧδε δὴ τοῖς πᾶσι τῆς ἑορτῆς ἐξάρχων. τὴν δ' ἱερὰν διανυκτέρευσιν μετέβαλλεν εἰς ἡμερινὰ φῶτα, κηροῦ κίονας ὑψηλοτάτους καθ' ὅλης ἐξαπτόντων τῆς πόλεως τῶν ἐπὶ τούτῳ τεταγμένων. λαμπάδες δ' ἦσαν πυρὸς, πάντα φωτίζουσαι τόπον. ὡς λαμπρᾶς ἡμέρας τηλαυγεστέραν τὴν μυστικὴν διανυκτέρευσιν ἀποτελεῖσθαι. διαλαβούσης δὲ τῆς ἑωθινῆς, σωτηρίας εὐεργεσίας μιμούμενος, πᾶσιν ἔθνεσιν λαοῖς τε καὶ δήμοις, τὴν εὐεργετικὴν ἐξέτεινε δεξιὰν, πλούσια πάντα τοῖς πᾶσι δωρούμενος.

C

## Caput XXIII.

*Quomodo idolorum cultum prohibuit, Martyrum autem festa honoravit.*

HOc igitur modo ipse Deo suo sacra faciebat. Ceterùm cunctis sub Romano Imperio degentibus, tam plebeis quam militibus, occlusæ erant fores cultus simulacrorum, & quodvis sacrificiorum genus interdictum. Missa quoque lex est ad Præsides provinciarum, ut diem dominicum etiam ipsi venerarentur. Iidem festos martyrum dies jussu Principis observabant, & Ecclesiasticarum festivitatum tempora debito honore prosequebantur. Quæ quidem omnia summo cum Imperatoris peragebantur gaudio.

## ΚΕΦΑΛΑΙΟΝ ΚΓ.

*Ὅπως εἰδωλολατρείαν μὲν ἐκώλυσε, μάρτυρας δὲ καὶ ἑορτὰς ἐτίμα.*

ΟΥτω μὲν οὖν αὐτὸς τῷ ἑαυτοῦ ἱεράτευε Θεῷ. καθόλου δὲ τοῖς ὑπὸ τῇ Ῥωμαίων ἀρχῇ δήμοις τε καὶ στρατιωτικοῖς, πύλαι ἀπεκλείοντο εἰδωλολατρείας, θυσίας τε τρόπος ἀπηγορεύετο πᾶς. καὶ τοῖς κατ' ἔθνος δ' ἄρχουσιν ὁμοίως τὴν κυριακὴν ἡμέραν νόμος ἐφοίτα
D γεραίρειν τῷ νεύματι βασιλέως. καὶ μαρτύρων ἡμέρας ἐτίμων, καιροὺς θ' ἑορτῶν ἐκκλησιαστικῶν ἐδόξαζον. πάντα τε βασιλεῖ καταθυμίως τὰ τοιαῦτα ἐπράττετο.

## Caput XXIV.

*Quod rerum externarum quasi Episcopum se esse dixit.*

QUocirca non absurdè, cùm Episcopos aliquando convivio exciperet, se quoque Episcopum esse dixit, his fere verbis usus nobis præsentibus. Vos quidem, inquit, in iis quæ intra Eccle-

## ΚΕΦΑΛΑΙΟΝ ΚΔ.

*Ὅτι τῶν ἔξω πραγμάτων, ὥσπερ Ἐπίσκοπον ἑαυτὸν εἶπεν εἶναι.*

ΕΝθεν εἰκότως αὐτὸς ἐν ἑστιάσει ποτὲ δεξιούμενος Ἐπισκόπους, λόγον ἀφῆκεν, ὡς ἄρα εἴη καὶ αὐτὸς Ἐπίσκοπος. ὧδέ πη αὐτοῖς εἰπὼν ῥήμασιν ἐφ' ἡμετέραις ἀκοαῖς. ἀλλ' ὑμεῖς μὲν

τῶν εἴσω τῆς ἐκκλησίας. ἐγὼ δὲ τῶν ἐκτὸς ὑπὸ Θεοῦ καθεσταμένος, Ἐπίσκοπος ἂν εἴην. ἀκόλουθα δ' οὖν τῷ λόγῳ διανοούμενος, τοὺς ἀρχομένους ἅπαντας ἐπεσκόπει, προὔτρεπέ τε ὅσηπερ ἂν ἡ δύναμις τὸν εὐσεβῆ μεταδιώκειν βίον.

A siam sunt, Episcopi estis. Ego verò in iis quæ extra geruntur, Episcopus à Deo sum constitutus. Itaq; consilia capiens dictis congruentia, omnes Imperio suo subjectos Episcopali sollicitudine gubernabat; & quibuscumque modis poterat, ut veram pietatem consectarentur, incitabat.

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Ὅτι περὶ κωλύσεως θυσιῶν καὶ τελετῶν καὶ μονομαχιῶν, καὶ τῶν πρὶν ἀκολάστων τοῦ Νείλου.

Ἔνθεν εἰκότως ἐπαλλήλοις τε νόμοις καὶ διατάξεσι τοῖς πᾶσι διεκελεύετο, μὴ θύειν εἰδώλοις. μὴ μαντεῖα περιεργάζεσθαι. μὴ ξοάνων ἐγέρσεις ποιεῖσθαι. μὴ τελετὰς κρυφίους ἐκτελεῖν. μὴ μονομάχων μιαιφονίαις μολύνειν τὰς πόλεις. τοῖς δὲ κατ' Αἴγυπτον αὐτήν τε τὴν Ἀλεξάνδρειαν, τὸν παρ' αὐτοῖς ποταμὸν δι' ἀνδρῶν ἐκτεθηλυμμένων θεραπεύειν ἔθος ἔχουσι, νόμος ἄλλος κατεπέμπετο, πᾶν τὸ τῶν ἀνδρογύνων γένος ὥσπερ τι κίβδηλον, ἀφανὲς γίνεσθαι τοῦ βίου. μηδ' ἐξεῖναί ποι ὁρᾶσθαι τοὺς τὴν ἀσέλγειαν ταύτην νενοσηκότας. ἐπεὶ δ' ὑπέλαβον οἱ δεισιδαίμονες μηκέτι τὸν ποταμὸν ῥεύσειν αὐτοῖς συνήθως, πᾶν τοὐναντίον ἢ προσεδόκησαν Θεὸς τῷ βασιλέως συμπράττων νόμῳ κατειργάζετο· οἱ μὲν γὰρ οὐκ ἔτι ἦσαν, οἱ τῇ σφῶν βδελυρίᾳ τὰς πόλεις μιαίνοντες. ὁ δ' ὡσανεὶ καθαρθείσης αὐτῷ τῆς χώρας, ἐφέρετο οἷος οὐδέ ποτε. ἀνέβαινέ τε πλουσίῳ τῷ ῥεύματι, πάσας ἐπικλύζων τὰς ἀρούρας. ἔργῳ παιδεύων τοὺς ἄφρονας, μιαροὺς μὲν ἐκτρέπεσθαι δεῖν ἄνδρας. μόνῳ δὲ τῷ παντὸς ἀγαθοῦ δοτῆρι, τὴν τῶν καλῶν ἀνατιθέναι αἰτίαν.

## Caput XXV.

*De prohibitione sacrificiorum & initiationum, & de abolitis gladiatoribus & impuris Sacerdotibus Nili.*

Hinc est quòd crebris legib⁹ & constitutionibus interdixit omnibus, B ne simulacris sacrificarent; ne vates curiosè consulerent; neve simulacra erigerent; aut arcana sacra peragerent; postremò ne cruentis gladiatorum spectaculis urbes contaminarent. Cúmque Ægyptii & Alexandrini fluvium suum ministerio quorundam hominum effeminatorum colere consuevissent, lex quoque ad eos data est, ut omnis Androgynorum natio tanquam adulterina, è medio tolleretur; nec usquam conspicerentur ii qui hujusmodi impudicitiæ morbo laborassent. Sed quoniam superstitiosi homines existima- C bant, Nilum posthac more solito agros suos minimè irrigaturum, Imperatoris legi favens Deus, contrarium prorsus quàm speraverant præstitit. Nam illi quidem qui urbes obscœnitate sua polluebant, esse desierunt. Ipse autem fluvius, quasi expiata purgatáque ipsi tota regione, uberior quàm unquam antea affluxit, & largiore aquarum copia exundans, agros omnes irrigavit: stultos homines reipsa docens atque admonens, impuros quidem aversari oportere; soli autem Deo omnium bonorum Auctori, prosperos casus esse ad- D scribendos.

## ΚΕΦΑΛΑΙΟΝ Κϛ΄.

Νόμου τοῦ κατὰ ἀτέκνων ὄντος διόρθωσις, ἔτι δὲ καὶ τοῦ περὶ διαθηκῶν, ὁμοίως διόρθωσις.

Ἀλλὰ γὰρ μυρία τοιαῦτα βασιλεῖ πραχθέντα ἐφ' ἑκάστης ἐπαρχίας, πλείστη γένοιτ' ἂν ῥᾳστώνη τοῖς γράφειν αὐτὰ φιλοτιμουμένοις· ὥσπερ οὖν καὶ νόμους οὓς ἐκ παλαιῶν ἐπὶ τὸ ὁσιώτερον μεταβάλλων ἀνενεοῦτο· καὶ τούτων δ' ἐν ὀλίγῳ ῥᾷον ἐκφῆναι τὸν τρόπον. τοὺς ἄπαιδας παλαιοὶ νόμοι στερήσει τῆς τῶν γονίμων διαδοχῆς ἐτιμωροῦντο. ὃ ἦν ὥσπερ κατὰ τῶν ἀτέκνων ἀπηνὴς νόμων, ὡσανεὶ πεπλημ-

## Caput XXVI.

*Correctio legis adversus orbos, & legis de testamentis.*

Verùm enimverò cùm hujusmodi res penè innumerabiles in singulis provinciis ab Imperatore gestæ sint, quicumq; eas curiosius scribere aggressi fuerint, amplissimam certè materiã habituri sunt. Cujusmodi est quòd plurimas leges ad majorem sanctitatẽ traducens, pro antiquis novas fecit. Atq; hujus rei forma uno aut altero exemplo declarari potest. Orbos antiquæ leges hæreditatis patrum ademptione plecte-

bant. Erátque lex hæc ſane atrociſſima; quippe quæ homines liberis deſtitutos, tanquam alicuius criminis reos, pœnâ afficeret. Imperator verò hoc abrogato jure, ſanctam ac religioſam legem tulit. Eos enim qui ſponte ac dedita opera peccarent, congruo ſupplicio afficiendos eſſe aiebat. At vero multis natura liberos denegavit; qui cùm numeroſam ſobolem ſibi optaſſent, tamen ob corporis infirmitatem liberis caruerunt. Alii ſine liberis ideo vixerunt, non quòd ſucceſſores habere liberos nollent, ſed quod muliebrem copulam averſarentur; præ ardentiſſimo amore Philoſophiæ id continentiæ genus amplexi. Multæ prætereа mulieres divino cultui conſecratæ, caſtitatem atque omnimodam virginitatem coluerunt; & tam animos ſuos quàm corpora, puriſſimæ ac ſanctiſſimæ vitæ mancipaverunt. Quid ergo? utrùm hoc ſupplicio, an potius admiratione & approbatione dignum haberi oportuit? Etenim hujus rei vel conatus ipſe maximam laudem meretur: effectus verò, naturæ humanæ vires excedit. Eos igitur quibus naturalis infirmitas, licet maximè cupientibus, liberos denegavit, miſeratione proſequi potius quàm pœna afficere decet. Qui vero ſublimioris Philoſophiæ amore ducitur, is non mulctâ, ſed admiratione omnium dignus eſt. Ad hunc modum Imperator ſumma cum æquitate legem illam correxit. Prætereа antiquis legibus cautum fuerat, ut morientes & ultimum, ut ita dicam, ducentes ſpiritum, certis quibuſdam verbis teſtamenta ſcrupuloſè componerent; præſcriptæque erant formulæ & ſolemnitates, ac verba quæ addi oporteret. Ex quo plurimæ fraudes admittebantur ad circumſcribendam morientium voluntatem. Quod Imperator cùm animadvertiſſet, hanc etiam legem emendavit; ſtatuens ut nudis verbis & qualicumque oratione teſtamentum condere morientibus liceret, & ſupremam voluntatem quovis ſcripto declarare; aut ſi mallent ſine ſcripto teſtari, id facerent adhibitis duntaxat teſtibus idoneis, qui fidem ſervare abſque mendacio poſſent.

A μεληκότας αὐτοὺς ζημίᾳ κολάζων. λύσας δὴ συγχωρεῖ κληρονομεῖν τοὺς προσήκοντας. τὰ δὲ βασιλεὺς ἐπὶ τὸ ὅσιον μεθήρμοζε, τοὺς κατὰ γνώμην πλημμελοῦντας εἰπὼν, τῇ προσηκούσῃ δεῖν σωφρονίζειν κολάσει. ἄπαιδας μὲν γὰρ πολλοὺς ἡ φύσις ἀνέδειξεν. εὐξαμένους μὲν πολυπαιδίας εὐτυχῆσαι. στερηθέντας δὲ φύσεως ἀσθενείᾳ. ἄλλοι δ' ἄπαιδες γεγόνασιν, οὐ τῷ ἐρωτήσει παίδων διαδοχῆς. γυναικείας δ' ἀποστροφῇ μίξεως, ἣν σφοδροτάτῳ φιλοσο-
B φίας ἔρωτι προείλοντο. ἁγνείαν δὲ καὶ παντελῆ παρθενίαν γυναῖκες ἱερωσύνῃ Θεοῦ καθιερωμέναι μετῆλθον, ἁγνῷ καὶ παναγεῖ βίῳ, ψυχῇ καὶ σώματι, σφᾶς αὐτὰς καθιερώσασαι. τί οὖν, τιμωρίας ἄξιον τοῦτο, ἢ θαύματος καὶ ἀποδοχῆς ἐχρῆν ἡγεῖσθαι; ἡ μὲν γὰρ προθυμία, πολλοῦ ἀξία. τὸ δὲ κατόρθωμα, κρεῖττον φύσεως. τοὺς μὲν οὖν ἀσθενείᾳ φύσεως, παίδων ἐπιθυμίας στερουμένους, ἐλεεῖσθαι, ἀλλ' οὐ τιμωρεῖσθαι προσήκει. τὸν δὲ τοῦ κρείττονος ἐραστὴν, ἄξιον εἶναι ὑπερθαυμάζειν, ἀλλ' οὐ κολάζειν. οὕτω τὸν νόμον βασιλεὺς σώφρονι λογισμῷ μετερρύθμιζε. κἄπειτα τῶν τὸν βίον
C μεταλλαττόντων ὁμοίως, παλαιοὶ μὲν νόμοι ἐπ' αὐτῆς ἐσχάτης ἀναπνοῆς ἀκριβολογεῖσθαι ῥημάτων λέξεσι τὰς συνταττομένας διαθήκας. τρόπους δέ τινας καὶ ποίας δεῖ φωνὰς διαλέγεσθαι ὥριζον· καὶ πολλὰ ἐκ τούτων ἐκακουργεῖτο, ἐπὶ περιγραφῇ τῆς τῶν κατοιχομένων προαιρέσεως. ἃ δὴ συνιδὼν βασιλεὺς, καὶ τοῦτον μετεποίει τὸν νόμον. ψιλοῖς ῥήμασι καὶ ταῖς τυχούσαις φωναῖς τὸν τελευτῶντα δεῖν τὰ κατὰ γνώμην διατάττεσθαι φήσας, κἂν τῷ τυ-
D χόντι γράμματι τὴν αὐτοῦ δόξαν ἐκτίθεσθαι, κἂν ἀγράφως ἐθέλῃ, μόνον ἐπὶ μαρτύρων τοῦτο πράττεσθαι ἀξιοχρέων, τὴν πίστιν δυναμένων σὺν ἀληθείᾳ φυλάττειν.

## Caput XXVII.

*Quòd legem tulit ne Iudæi Christianum mancipium haberent, utque Conciliorum decreta rata eſſent, & cetera.*

QUinetiam legem tulit, ne Chriſtianus ullus ſerviret Judæis. Neque enim fas eſſe, ut ii qui à Domino redem-

## ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Ὅτι χριστιανὸν μηδ' Ἰουδαίοις μὴ δουλεύειν, τῶν δὲ συνόδων βεβαίους τοὺς ὅρους εἶναι ἐνομοθέτει, καὶ λοιπά.

ΑΛλὰ καὶ Ἰουδαίοις μηδένα χριστιανὸν ἐνομοθέτει δουλεύειν· μὴ γὰρ θεμιτὸν εἶναι

προφητοφόνταις καὶ κυριοκτόνοις, τοὺς ὑπὸ τοῦ σωτῆρος λελυτρωμένους ζυγῷ δουλείας ὑπάγεσθαι. εἰ δ' εὑρεθείη τις τοιοῦτος, τὸν μὲν ἀνεῖσθαι ἐλεύθερον. τὸν δὲ, ζημίᾳ χρημάτων κολάζεσθαι. καὶ τοὺς τῶν Ἐπισκόπων δ' ὅρους τοὺς ἐν συνόδοις ἀποφανθέντας, ἐπεσφραγίζετο. ὡς μὴ ἐξεῖναι τοῖς τῶν ἐθνῶν ἄρχουσι, τὰ δόξαντα παραλύειν· παντὸς γὰρ εἶναι δικαστοῦ τοὺς ἱερεῖς τοῦ Θεοῦ δοκιμωτέρους. τούτοις ἀδελφὰ μυρία τοῖς ὑπὸ τὴν ἀρχὴν διετύπου· ἃ δὴ σχολῆς ἂν δέοιτο δοῦναι ὑποθέσει οἰκείᾳ, εἰς ἀκριβῆ διάγνωσιν τῆς κἂν τούτοις βασιλικῆς φρονήσεως. τί χρὴ νῦν διεξιέναι, ὡς τῷ ἐπὶ πάντων συνάψας ἑαυτὸν Θεῷ, ἐξ ἑώας εἰς ἑσπέραν, τίνας εὖ ποιήσειεν ἀνθρώπων περιενόει. καὶ ὡς πᾶσι μὲν ἴσος ἦν καὶ κοινὸς πρὸς εὐποιΐαν.

pti essent, Prophetarum ac Domini interfectoribus servitutis jugo subderentur. Quod si quis Christianæ religionis, servus penes Judæum deprehenderetur, illum quidem libertate donari; Judæum verò mulctari pecuniâ jussit. Jam verò Episcoporum sententias quæ in Conciliis promulgatæ essent, auctoritate sua confirmavit; adeò ut provinciarum Rectoribus non liceret Episcoporum decreta rescindere. Cuivis enim judici preferendos esse Sacerdotes Dei. Hujusmodi pene innumeras leges subditis suis promulgavit: quas quidem peculiari volumine tradere, ad perspiciendam hac etiam in parte Imperatoris prudentiam, majoris otii fuerit. Quid nunc attinet commemorare, quemadmodum summo omnium Deo sese applicans, à prima luce ad vesperam quos ex omni hominum numero beneficiis afficeret, sollicitè inquirebat; seque erga omnes æquum ac civilem, bene de cunctis merendo præbebat.

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

*Ἐκκλησίαις δωρεαὶ, παρθένοις τε καὶ πένησι διαδόσεις.*

Ταῖς δ' ἐκκλησίαις τοῦ Θεοῦ καθ' ὑπεροχὴν ἐξαίρετον, πλεῖστα ὅσα παρεῖχεν. ὧδε μὲν ἀγρούς. ἀλλαχόθι δὲ σιτοδοσίας, ἐπὶ χορηγίᾳ πενήτων ἀνδρῶν, παίδων τ' ὀρφανῶν καὶ γυναικῶν οἰκτρῶν δωρούμενος· ἤδη δὲ σὺν πολλῇ φροντίδι, καὶ περιβλημάτων πλείστων ὅσων γυμνοῖς καὶ ἀνείμοσι προνοούμενος· διαφερόντως δ' ἠξίου τοῦ τιμῆς πλείονος, τοὺς τὸν σφῶν βίον τῇ κατὰ Θεὸν ἀναθέντας φιλοσοφίᾳ· τὸν οὖν πανάγιον τῶν ἀειπαρθένων τοῦ Θεοῦ χορὸν, μονονουχὶ καὶ σέβων διετέλει. ταῖς τῶν τοιῶνδε ψυχαῖς, ἔνοικον αὐτὸν ὑπάρχειν ᾧ καθιέρωσαν ἑαυτὰς Θεὸν πειθόμενος.

## Caput XXVIII.

*Dona in Ecclesias collata, & pecuniæ virginibus ac pauperibus erogatæ.*

Sed præcipuè in Ecclesias Dei plurima contulit dona; nunc agros; nunc annonas in alimoniam pauperum & viduarum ac pupillorum largiens. Denique etiam vestes nudis hominibus fieri sollicita provisione curavit. Præ ceteris vero eos maximè honorabat, qui se totos divinæ Philosophiæ addixissent. Ipsum quidem sanctissimum perpetuarum Dei virginum cœtum tantum-non venerabatur, cùm ipsum cui se consecraverant Deum, in earum mentibus habitare, pro certo haberet.

## ΛΕΦΑΛΑΙΟΝ ΚΘ'.

*Λογογραφίαι καὶ ἐπιδείξεις ὑπὸ Κωνσταντίνου.*

Ναὶ μὴν τὴν αὐτοῦ αὐτὸς διάνοιαν τοῖς ἐνθέοις συναύξων, ἐπαγρύπνως μὲν διῆγε τοὺς τῶν νυκτῶν καιρούς. σχολῇ δὲ λογογραφῶν, συνεχεῖς ἐποιεῖτο τὰς παρόδους. προσήκειν ἡγούμενος ἑαυτῷ, λόγῳ παιδευτικῷ τῶν ἀρχομένων κρατεῖν, λογικήν τε τὴν σύμπασαν καταστήσασθαι βασιλείαν. διὸ δὴ συνεκάλει μὲν αὐτός. μυρία δ' ἔσπευδεν ἐπ' ἀκρόασιν πλήθη, φιλοσοφοῦντος ἀκουσόμενα βασιλέως. εἰ

## Caput XXIX.

*Lucubrationes & Declamationes Constantini.*

Quin & totas interdum noctes vigil traducebat, suam ipse mentem divinarum rerum meditatione instruens. Et per otium scribendis orationibus vacans, crebras habebat conciones: quippe qui officii sui esse existimaret, populos sibi subjectos præceptis rationis regere, & Principatum suum rationis Imperium efficere. Quocirca ipse quidem concionem advocabat. Ceterùm innumerabilis accurrebat multitudo, Prin-

Ἀπαλοῖς μὲν οὖν ἔτι τὴν ἡλικίαν τοῖς Καίσαρσιν, ἀναγκαίως οἱ συμπράττοντες συνῆσάν τε καὶ τὰ κοινὰ διῴκουν. εἰς ἄνδρας δ' ἤδη τὸν προϊοῦσιν αὐτοῖς, μόνος ὁ πατὴρ εἰς διδασκαλίαν ἐπήρκει. τοτὲ μὲν παρόντας, ἰδιωτικαῖς ὑποθήκαις ζηλωτὰς αὐτοὺς παρορμῶν, μιμητὰς τῆς αὐτοῦ θεοσεβείας ἀπετέλει διδάσκων. τοτὲ δ' ἀποῦσι, τὰ βασιλικὰ περὶ κοινῶν διῄει παραγγέλματα γράφων· ὧν τὸ μέγιστον ἦν καὶ πρώτιστον, τὴν εἰς τὸν πάντων βασιλέα Θεὸν γνῶσίν τε καὶ εὐσέβειαν, πρὸ παντὸς πλούτου καὶ πρὸ αὐτῆς βασιλείας τιμᾶσθαι. ἤδη δ' αὐτοῖς καὶ τοῦ δι' αὐτῶν πράττειν τὰ λυσιτελῆ τοῖς κοινοῖς, ἐξουσίαν ἐδίδου· καὶ τὴν ἐκκλησίαν δὲ τοῦ Θεοῦ διὰ φροντίδος ἄγειν, ἐν πρώτοις παρῄνει, αὐτοῖς τε διαρρήδην Χριστιανοῖς εἶναι παρεκελεύετο. καὶ ὁ μὲν οὕτω τοὺς υἱεῖς παρεσκεύαζεν· οἱ δ' οὐχ ὡς ἐκ παραγγέλματος, αὐτογνώμονι δὲ προθυμίᾳ, τὰς τοῦ πατρὸς παραινέσεις ὑπερέβαλλον. τῇ πρὸς τὸν Θεὸν ὁσίᾳ τὴν σφῶν διάνοιαν συντείνοντες. τούς τε τῆς ἐκκλησίας θεσμοὺς ἐν αὐτοῖς βασιλείοις, σὺν τοῖς οἰκείοις ἅπασιν ἀπεπλήρουν. καὶ τοῦτο δ' ἔργον τῆς τοῦ πατρὸς περιῆν προμηθείας, τὸ τοὺς συνοίκους ἅπαντας θεοσεβεῖς παραδοῦναι τοῖς παισί. καὶ τῶν πρώτων δὲ ταγμάτων οἱ τὴν τῶν κοινῶν ἐτύγχανον δεδεγμένοι φροντίδα, τοιοῦτοί τινες ὑπῆρχον. τοῖς γοῦν κατὰ Θεὸν πιστοῖς ἀνδράσιν, ὥσπερ τισὶν ὀχυροῖς περιβόλοις ἠσφαλίζετο. ἐπεὶ δὲ καὶ ταῦτα (καλῶς) διέκειτο τῷ τρισμακαρίῳ, Θεὸς ὁ παντὸς ἀγαθοῦ πρύτανις, ὡσανεὶ τῶν καθόλου πραγμάτων εὖ διατεθέντων αὐτῷ, καιρὸν εἶναι λοιπὸν τῆς ἐπὶ τὰ κρείττονα μεταθέσεως ἐδοκίμαζε, καὶ τὸ τῇ φύσει χρεὼν ἐπιτ

A

## Κεφ. ΝΓ'.

*Ὅτι ἀμφὶ τὰ λβ' ἔτη βασιλεύσας, καὶ ὑπὲρ τὰ ξ' ζήσας, σῶον εἶχε τὸ σῶμα.*

Δύο μὲν οὖν πρὸς τοῖς τριάκοντα τῆς βασιλείας ἐνιαυτοῖς, μησί τε καὶ ἡμέραις βραχείαις δέουσιν, ἐπλήρου. τῆς δὲ ζωῆς ἀμφὶ τὸν διπλάσιον χρόνον· ἐν ᾧ τῆς ἡλικίας, ἀπαθὲς μὲν καὶ ἄλυτον αὐτῷ διήρκει τὸ σῶμα, κηλῖδος καθαρὸν ἁπάσης, παντός τε νέου νεανικώτερον. ὡραῖον μὲν ἰδεῖν. ῥωμαλέον δ' ὅ,τι δέοι δυνάμει καὶ τὰ πράξασθαι ὡς καὶ γυμνάζεσθαι, ἱππάζεσθαι, καὶ ὁδοιπορεῖν. πολέμοις τε παραβάλλειν, τρόπαιά τε κατ' ἐχθρῶν ἐγείρειν, καὶ τὰς συνήθεις ἀναιμακτὶ κατὰ τῶν δι' ἐναντίας αἱρεῖσθαι νίκας,

## CAPUT LIII.

*Quòd cùm duobus ac triginta annis regnaverit, & plusquam LX. annis vixerit, integra semper fuit valetudine.*

AC Imperii quidem curriculum duobus & triginta annis explevit, exceptis mensibus ac diebus paucis: vitæ verò spatium duplo fere longius fuit. Qua in ætate, corpus ei ab omni morbo & labe vacuum, expers cujuslibet vitii, & quovis juvenili corpore firmius constitit, & tum decorum aspectu, tum ad quidvis agendum viribus pollens. B Adeò ut militaribus exercitationibus proluderet; equitaret; ambularet; dimicaret; tropæa de hostibus victis erigeret, & incruentas illas more suo victorias reportaret.

## Κεφ. ΝΔ'.

*Περὶ τῶν τῇ ἄγαν αὐτοῦ φιλανθρωπίᾳ συγκεχρημένων εἰς ἀπληστίας καὶ ὑποκρίσεις.*

Καὶ τὰ τῆς ψυχῆς δ' ὡσαύτως, εἰς ἄκρον τῆς ἐν ἀνθρώποις τελειώσεως αὐτῷ προῄει. πᾶσι μὲν ἐμπρέποντι τοῖς καλοῖς. ὑπερβαλλόντως δὲ τῇ φιλανθρωπίᾳ· ὃ δὴ καὶ μεμπτὸν ἐνομίζετο τοῖς πολλοῖς, τῆς τῶν μοχθηρῶν ἀνδρῶν φαυλότητος εἵνεκα, οἳ τῆς σφῶν κακίας τὴν βασιλέως ἐπεγράφοντο ἀνεξικακίαν, [αἰτίαν.] καὶ γοῦν ἀληθῶς, δύο χαλεπὰ ταῦτα κατὰ τοὺς δηλουμένους τούτους χρόνους καὶ αὐτοὶ κατενοήσαμεν. ἐπιτριβὴν ἀπλήστων καὶ μοχθηρῶν ἀνδρῶν τὸν πάντα λυμαινομένων βίον. εἰρωνείαν τ' ἄλεκτον τῶν τὴν ἐκκλησίαν ὑποδυομένων, καὶ τὸ χριστιανῶν ἐπιπλάστως σχηματιζομένων ὄνομα. τὸ δ' αὐτοῦ φιλάνθρωπον καὶ φιλάγαθον, τό, τε τῆς πίστεως εἰλικρινές, καὶ τοῦ τρόπου τὸ φιλάληθες, ἐνῆγεν αὐτὸν πιστεύειν τῷ σχήματι τῶν χριστιανῶν εἶναι νομιζομένων, εὔνοιάν τ' ἀληθῆ περὶ αὐτὸν πεπλασμένῃ ψυχῇ σώζειν προσποιουμένων· οἷς ἑαυτὸν καταπιστεύων, τάχα ἄν ποτε καὶ τοῖς μὴ πρέπουσιν ἐνεπείρετο. κηλῖδα ταύτην τοῖς αὐτοῦ καλοῖς ἐπιφέροντος τοῦ φθόνου.

## CAPUT LIV.

*De iis qui eximia ejus humanitate ad avaritiã & pietatis simulationem abusi sunt.*

ANimus similiter ad summum humanæ perfectionis culmen pervenerat: quippe qui omnibus præclaris C dotibus ornatus esset, præcipuè verò humanitate. Quam tamen multi reprehendebant; ob exuberantem malitiam improborum, qui nequitiam suam Imperatoris adscribebant patientiæ. Certe hæc duo vitia illis temporibus maxime invaluisse, nos quoq; ipsi conspeximus; violentiam scilicet pessimorum hominum & insatiabili cupiditate flagrantium, qui universos fere mortales infestabant: & fraudulentam simulationem eorum qui callidè in Ecclesiam irrepebant, & Christianorum nomen falsò ac specie tenus præferebant. Verùm insita Imperatori humanitas ac bonitas, & fidei morumque sinceritas, D eò ipsum adduxit, ut crederet fictæ in speciem pietati hominum illorum qui pro Christianis habebantur, & qui sinceram erga ipsum benevolentiam callidâ mente simulabant. Quibus ille cum semetipse credidisset, interdum fortasse in ea quæ parum decora essent, impegit; maligni dæmonis invidiâ hanc velut maculam reliquis ejus laudibus adspergente.

A

## CAPUT LV.

*Qualiter ad ultimum usque vitæ diem orationes scripsit.*

VErùm illos divina justitia non multo pòst merito supplicio affecit. Imperator verò tantâ sermonũ scientiâ animum instruxerat, ut ad ultimũ usque diem vitæ, orationes conscriberet more solito, & conciones haberet, & divina documenta auditoribus insinuaret: leges item ferret assiduè, nunc de civilibus negotiis, nunc de re militari: cuncta deniq; ad commodum atque utilitatem humani generis excogitaret. Illud verò haudquaquam silentio prætereundum est, quod cum extremus vitæ dies ipsi jam impenderet, funebrem quandam orationẽ in consueto auditorio recitavit. Cumq; sermonẽ longiùs produxisset, in ea disseruit de animorum immortalitate, deque his qui vitam piè traduxissent; & de bonis quæ amicis Dei apud ipsum Deum recondita essent. Contrà verò, quem finem essent habituri illi qui contrariam vivendi rationem instituissent, multis rationib⁹ evidenter astruxit; interitum & cladem impiorum describens. Quod quidem cum graviter & serio affirmaret, proximos & familiares suos perstringere videbatur. Adeò ut quendam ex illis vana sapientiæ opinione inflatis, interrogaverit, quid sentiret de iis quæ dicta essent. At ille verissima esse cuncta testatus est; & quamvis invitus, disputationes adversus multorum numinũ cultum magnopere laudavit. Hujusmodi conciones ad familiares suos ante mortẽ cùm habuisset, viam sibi ipse complanare ad meliorem vitam videbatur.

## Κεφ. ΝΕʹ.

Ὅπως μέχρι τελευτῆς ἐλογογράφει Κωνσταντῖνος.

ΑΛλὰ τοὺς μὲν, οὐκ εἰς μακρὰν ἡ θεία μετήρχετο δίκη· αὐτὸς δὲ βασιλεὺς ἔτι τὴν ψυχὴν λογικῇ συνέσει προῆκτο, ὡς καὶ μέχρι τελευτῆς συνήθως μὲν λογογραφεῖν, συνήθως δὲ τὰς προσόδους ποιεῖσθαι, καὶ τὰς θεοπρεπεῖς τοῖς ἀκροαταῖς διδασκαλίας παρέχειν, νομοθετεῖν δὲ συνήθως, τοτὲ μὲν πολιτικοῖς, τοτὲ δὲ στρατιωτικοῖς. B πάντα τε προσφόρως τῷ τῶν ἀνθρώπων ἐπινοεῖν βίῳ. μνημονεύσεως ἄξιον, ὡς πρὸς αὐτῇ γεγονὼς τῇ τοῦ βίου τελευτῇ, ἐπικήδειόν τινα λόγον ἐπὶ τοῦ συνήθους διῆλθεν ἀκροατηρίου· μακρὸν δὲ καὶ κατατείνας τοῦτον περὶ ψυχῆς ἀθανασίας διεξῄει λόγον, περί τε τῶν εὐσεβῶς διηνυκότων τὴν ζωὴν, τῶν τε τοῖς θεοφιλέσι παρ' αὐτῷ Θεῷ τεταμιευμένων ἀγαθῶν· μακραῖς δ' ἀποδείξεσι, καὶ τὸ τῶν ἐναντίων τάγμα ὁποίου τέλους τεύξεται φανερὸν ἐποίει, τῶν ἀθέων τὴν καταστροφὴν παραδιδοὺς τῇ γραφῇ· ὃ δὴ καὶ ἐμβριθῶς μαρτυρόμενος, καθάψασθαι τῶν ἀμφ' αὐτὸν ἐδόκει. ὡς καί τινα τῶν δοκησόφων ἐρέσθαι, ὅπως ἔχειν αὐτῷ φαίνοιτο τὰ λεγόμενα· τὸν δ' ἐπιμαρτυρῆσαι τοῖς λόγοις ἀλήθειαν, σφόδρα C τε καίπερ οὐκ ἐθέλοντα, ἐπαινεῖν τὰ κατὰ τῆς πολυθέων διδασκαλίας. τοιαῦτα πρὸ τελευτῆς τοῖς γνωρίμοις ὁμιλήσας, αὐτὸς αὑτὴν ἐπὶ τὰ κρείττω πορείαν, λείαν καὶ ὁμαλὴν ἐῴκει παρασκευάζειν.

## CAPUT LVI.

*Quomodo ad bellũ Persicum proficiscens, Episcopos sibi adjunxit, & tentorium in speciem Ecclesiæ paravit.*

ILlud quoque neutiquam prætereundum est, quod circa hæc tẽpora, cùm de motu barbarorum ad orientem Solem degentiũ nuntius allatus esset; hanc adhuc de illis victoriam superesse sibi testatus, Persis bellum inferre statuit. Quod cùm facere decrevisset, militares copias undiq; excivit: & cum Episcopis quos circa se habebat, de profectione consilium communicavit; provida mente prospiciens, viros ad divinum cultũ necessarios secum assiduè versari

## Κεφ. Νϛʹ.

Ὅπως ἐπὶ Πέρσας στρατεύων συμπαρέλαβεν ἐπισκόπους, καὶ σκηνὴν εἰς σχῆμα τῆς ἐκκλησίας.

D ΚΑκεῖνο δὲ μνήμης ἄξιον, ὡς ἀμφὶ τὸν δηλούμενον χρόνον, τῶν ἐπ' ἀνατολῆς βαρβάρων κινήσεως ἀκουσθείσης, ἔτι ταύτην αὐτῷ τὴν κατὰ τῶν δὲ νίκην λείπεσθαι φήσας, ἐπὶ Πέρσας στρατεύειν ὡρμᾶτο. τοῦτό τε κρίνας, ἐκίνει τὰ στρατιωτικὰ τάγματα. καὶ δὴ τοῖς ἀμφ' αὐτὸν ἐπισκόποις περὶ τῆς πορείας ἐκοίνου, συνεῖναι αὐτῷ δεῖν τινὰς τῶν ἀναγκαίων ἐν θεοσεβείᾳ προμηθούμενος. οἱ δὲ καὶ μάλα προθύμως συνέπεσθαι βουλομένῳ, μὴ δ' ἀναχωρεῖν ἐθ-

λειν. συστρατεύειν δ' αὐτῷ καὶ συναγωνίζεσθαι ταῖς πρὸς τὸν Θεὸν ἱκετηρίαις ἔλεγον. σφόδρα δ' ἐπὶ ταῖς ἀγγελίαις ἡσθεὶς, τὴν πορείαν αὐτοῖς διετύπου· [ἔπειτα καὶ τὴν σκηνὴν τῷ τῆς ἐκκλησίας σχήματι πρὸς τὴν ἐκείνου τοῦ πολέμου παράταξιν σὺν πολλῇ φιλοτιμίᾳ κατειργάζετο. ἐν ᾗ τῷ Θεῷ τῷ τῆς νίκης δοτῆρι τὰς ἱκετηρίας ἅμα τοῖς ἐπισκόποις ποιεῖσθαι ἐπενόει.

A oportere. Illi verò, libenti animo secuturos se esse affirmarunt, nec ab illo discessuros; sed continuis apud Deum supplicationibus militaturos unà cum illo & pugnaturos. Quo ille nuntio vehementer delectatus, viam illis qua proficiscerentur, descripsit. Deinde tabernaculum in speciem Ecclesiæ ambitioso cultu adhujus belli usum præparavit; in quo preces ad Deum victoriæ auctorem unà cum Episcopis fundere decreverat.

## Κεφ. ΝΖ'.

Ὅπως Περσῶν πρεσβείας δεξάμενος, ἐν τῇ τοῦ πάσχα ἑορτῇ συνδιενυκτέρευσε τοῖς ἄλλοις.

ΕΝ τούτῳ Πέρσαι πυθόμενοι περὶ τῆς βασιλέως πρὸς πόλεμον παρασκευῆς, καὶ μάχην πρὸς αὐτὸν συμβαλεῖν σφόδρα φοβούμενοι, διὰ πρεσβείας αὐτὸν ἠξίουν τὸ εἰρήνην ποιεῖσθαι. διὸ ὁ μὲν εἰρηνικώτατος βασιλεὺς τὴν Περσῶν πρεσβείαν δεξάμενος, φιλικὰς δεξιὰς προθύμως σὺν ἐκείνοις ἐσπείσατο. ἤδη δ' ἡ μεγάλη τοῦ πάσχα ἑορτὴ παρῆν. ἐν ᾗ ὁ βασιλεὺς τῷ Θεῷ τὰς εὐχὰς ἀποδιδοὺς, συνδιενυκτέρευσε τοῖς ἄλλοις.

B

## CAPUT LVII.

*Quomodo susceptis Persarum Legatis, festo Pascha die cum aliis pernoctavit.*

INterea Persæ cùm Imperatorem bellum parare comperissent, & cum illo congredi vehementer reformidarent, missis Legatis pacem ab eo postulaverunt. Itaque Imperator pacis amantissimus, Persarum legatione benignè suscepta, pacem & amicitiam cum eis libenter pepigit. Aderat jam magna Paschalis festi solemnitas: in qua Imperator vota Deo persolvens, unà cum ceteris pernoctavit.

C

## Κεφ. ΝΗ'.

Περὶ οἰκοδομῆς τοῦ ἐπικαλουμένου τῶν Ἀποστόλων ἐν Κωνσταντινουπόλει μαρτυρίου.

ΕΠὶ τούτοις τὸ μαρτύριον ἐν τῇ ἐπωνύμῳ πόλει, ἐπὶ μνήμῃ τῶν Ἀποστόλων οἰκοδομεῖν παρεσκευάζετο·] αὐτὸς δὲ νεὼν ἅπαντα εἰς ὕψος ἄφατον ἐπάρας, λίθων ποικιλίαις παντοίων ἐξαστράπτοντα ἐποίει, εἰς αὐτὸν ὄροφον ἐξ ἐδάφους πλακώσας· διαλαβὼν δὲ λεπτοῖς φατνώμασι τὴν στέγην, χρυσῷ τὴν πᾶσαν ἐκάλυπτεν· ἄνω χαλκὸς μὲν ἀντὶ κεράμου, φυλακὴν τῷ ἔργῳ πρὸς ὑετῶν ἀσφάλειαν παρεῖχε· καὶ τοῦτον δὲ πολὺς περιέλαμπε χρυσός. ὡς μαρμαρυγὰς τοῖς πόρρωθεν ἀφορῶσι ταῖς ἡλίου αὐγαῖς ἀντανακλωμέναις ἐκπέμπειν. δικτυωτὰ δὲ πέριξ ἐκύκλου τὸ δωμάτιον ἀνάγλυφα, χαλκῷ καὶ χρυσῷ κατειργασμένα.

## CAPUT LVIII.

*De constructione Martyrii Apostolorum Constantinopoli.*

POsthæc in memoriam Apostolorũ Martyrium ædificare cœpit in urbe sibi cognomine. Cumque templum omne in immensam altitudinem extulisset, vario lapidum genere splendidum reddidit, à solo ad cameram usque marmoreis crustis illud operiens. Porro cameram lacunaribus minutissimi operis obducens, totam auro imbracteavit. Et suprà quidem, æs tegularum D loco impositum, universo ædificio munimentum adversus imbres præbebat. Quod itidem auro plurimo superfusum resplendebat; adeo ut procul spectantium oculos fulgore præstingueret, Solis radiis æris objectu repercussis. Totum vero solarium reticulatis quibusdam anaglyphis ex ære & auro fabrefactis erat circumdatum.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

A

### CAPUT LIX.

*Descriptio ejusdem Martyrii.*

AC templum quidem ipsum maximo Imperatoris studio hûc in modum exornabatur. Circa ipsum templû ingens erat area, libero ac patente desuper cœlo. Cujus ad quatuor latera, porticus erant sibi invicem conjunctæ, quæ aream in medio sitam una cum ipso tẽplo circumcingebant. Præterea basilicæ; lavacra; diversoria; & alia plurima habitacula ad usum eorum qui locum custodiebant, porticibus applicita, earû longitudinem æquabant.

### Κεφ. ΝΘʹ.

*Ἔκφρασις ἔτι τοῦ αὐτοῦ μαρτυρίου.*

ΚΑὶ ὁ μὲν νεὼς ὧδε, σὺν πολλῇ βασιλέως φιλοτιμίᾳ, σπουδῆς ἠξιοῦτο· ἀμφὶ δ' αὐτόν, αἴθριος ἦν αὐλὴ παμμεγέθης, εἰς ἀέρα καθαρὸν ἀναπεπταμένη· ἐν τετραπλεύροις ταύτῃ στοαὶ διέτρεχον, μέσον αὐτῷ νεῷ τὸ αἴθριον ἀπολαμβάνουσαι· οἶκοί τε βασίλειοι ταῖς στοαῖς, λουτρά τε καὶ ἀνακαμπτήρια παρεξετείνετο, ἄλλα τε πλεῖστα καταγώγια τοῖς τοῦ τόπου φρουροῖς ἐπιτηδείως εἰργασμένα.

B

### CAPUT LX.

*Quod etiam in eo templo sepulcrû sibi ædificavit.*

HAec omnia dedicavit Imperator eo consilio, ut Apostolorum Servatoris nostri memoriã posteris in perpetuum commendaret. Sed & aliud quidpiam in mente habens, ædem illam construxit: quod initio quidem obscurum, tandem verò omnibus sub finem innotuit. Quippe ipse hunc sibi locum post mortem designaverat; incredibili fidei alacritate prospiciens, ut corpus suum communem cum Apostolis appellationẽ post obitum sortiretur: quò scilicet precationum quæ in honorem Apostolorum ibi celebrandæ erant, etiam mortuus particeps fieret. Cum igitur duodecim illic capsas, quasi sacras quasdam columnas in honorem ac memoriam Apostolici collegii erexisset, suam ipsius arcam in medio constituit, quæ senas utrinque Apostolorû capsas dispositas habebat. Atque id in eo loco ubi corpus ipsi⁹ post mortem decenter deponendum esset, solertissimè providit. His ille diu antea sagaci mente dispositis, ædem Apostolis consecravit; pro certo sibi persuadens, horum memoriam non parum utilitatis animæ suæ esse allaturam. Nec verò Deus eum voto atque exspectatione sua frustratus est. Nam cum primas Paschalis festi exercitationes obiisset, ipsumque Servatoris nostri diem, tum sibi tum aliis omnibus lætum atque hilarem reddidisset; his illum rebus intentum, & in hujusmodi operibus perstantem usque ad exitum vitæ, Deus cujus auxilio cuncta gerebat, opportunè tandem eum ad meliorem sortem transferre dignatus est.

### Κεφ. Ξʹ.

*Ὅτι ἐν τούτῳ καὶ μνημεῖον εἰς ταφὴν ἑαυτῷ προευτρεπίζετο.*

ΤΑῦτα πάντα ἀφιέρου βασιλεύς, διαιωνίζων εἰς ἅπαντας τὴν τοῦ Σωτῆρος ἡμῶν Ἀποστόλων τὴν μνήμην· ᾠκοδόμει δ' ἄρα καὶ ἄλλο τι τῇ διανοίᾳ σκοπῶν, ὃ δὴ λανθάνον τὰ πρῶτα, κατάφωρον πρὸς τῷ τέλει τοῖς πᾶσιν ἐγίνετο. αὐτὸς γοῦν αὐτῷ εἰς δέοντα καιρὸν τῆς αὐτοῦ τελευτῆς, τὸν ἐνταυθοῖ τόπον ἐταμιεύσατο, τῆς τῶν Ἀποστόλων προσρήσεως κοινωνὸν γενέσθαι τοῦ σκήνους μετὰ θάνατον, προνοῶν ὑπερβαλλούσῃ πίστεως προθυμίᾳ γεγενῆσθαι, ὡς ἂν καὶ μετὰ τελευτὴν, ἀξιῷτο τῶν ἐνταυθοῖ μελλουσῶν ἐπὶ τιμῇ τῶν Ἀποστόλων συντελεῖσθαι εὐχῶν. δώδεκα δ' οὖν αὐτόθι θήκας, ὡσανεὶ στήλας ἱεράς, ἐπὶ τιμῇ καὶ μνήμῃ τοῦ τῶν Ἀποστόλων ἐγείρας χοροῦ, μέσην ἐτίθει τὴν ἑαυτοῦ λάρνακα, ἧς ἑκατέρωθεν, τῶν Ἀποστόλων ἀνὰ ἓξ διέκειντο. καὶ τοῦτο γοῦν ὡς ἔφην σώφρονι λογισμῷ, ἔνθα αὐτῷ τὸ σκῆνος τελευτήσαντι τὸν βίον εὐπρεπῶς μέλλοι διαναπαύεσθαι, ἐσκόπει. ἀλλ' ὁ μέν, ἐκ μακροῦ καὶ πρόπαλαι τῷ λογισμῷ ταῦτα πρυτανευόμενος, ἀφιέρου τοῖς Ἀποστόλοις τὸν νεών. ὠφέλειαν ψυχῆς ὀνησιφόρον, τὴν τῶνδε μνήμην ποιεῖσθαι πιστεύων· Θεὸς δ' αὐτὸν καὶ τῶν κατ' εὐχὴν προσδοκηθέντων οὐκ ἀπηξίου. ὡς γὰρ τὰς πρώτας τῆς τοῦ πάσχα ἑορτῆς συνεπλήρου ἀσκήσεις, τήν τε σωτήριον διήγαγεν ἡμέραν, λαμπρὰν αὐτῷ τε καὶ τοῖς πᾶσι τὴν ἑορτὴν καταφαιδρύνας, ἐν τούτῳ τέλους τὴν ζωὴν διανύοντα καὶ ἐν τούτοις ὄντα, Θεὸς ᾧ ταῦτα συνεξετέλει, κατὰ καιρὸν εὔκαιρον τῆς θείας ἐπὶ τὸ κρεῖττον μεταβάσεως αὐτὸν ἠξίου.

C

D

A

## Κεφ. ΞΑ'.

*Ἀνωμαλία σώματος ἐν Ἑλενοπόλει, καὶ προσευχαὶ περὶ βαπτίσματος.*

Γίνεται δ' αὐτῷ πρώτη τις ἀνωμαλία τοῦ σώματος. εἶτ' οὖν κάκωσις ἐπὶ τὸ αὐτὸ συμβαίνει· κἄπειτα τῆς αὐτοῦ πόλεως ἐπὶ λουτρὰ θερμῶν ὑδάτων πρόεισιν. ἐνθένδε τε τῆς αὐτοῦ μητρὸς ἐπὶ τὴν ἐπώνυμον ἀφικνεῖται πόλιν. κἀνταῦθα τῷ τῶν μαρτύρων εὐκτηρίῳ ἐνδιατρίψας οἴκῳ, ἱκετηρίους εὐχάς τε καὶ λιτανείας ἀνέπεμπε τῷ Θεῷ. ἐπειδὴ δ' εἰς ἔννοιαν ἧκε τῆς τοῦ βίου τελευτῆς, καθάρσεως τοῦτον εἶναι καιρὸν τῶν ποτὲ αὐτῷ πεπλημμελημένων δεῖν ᾤετο. ὅσα οἷα θνητῷ διαμαρτεῖν ἐπῆλθε, ταῦτ' ἀπορρύψασθαι τῆς ψυχῆς, λόγων ἀπορρήτων δυνάμει, σωτηρίῳ γε λόγῳ λουτροῦ, πιστεύσας. τοῦτό τοι διανοηθεὶς, γόνυ κλίνας ἐπ' ἐδάφους, ἱκέτης ἐγίγνετο τοῦ Θεοῦ, ἐν αὐτῷ τῷ μαρτυρίῳ ἐξομολογούμενος. ἔνθα δὴ καὶ πρῶτον τῶν διὰ χειροθεσίας εὐχῶν ἠξιοῦτο· μεταβὰς δ' ἔνθεν, ἐπὶ προάστειον τῆς Νικομηδέων ἀφικνεῖται πόλεως· κἀνταῦθα συγκαλέσας τοὺς ἐπισκόπους, ὧδέ πῃ αὐτοῖς διελέξατο.

## Κεφ. ΞΒ'.

*Κωνσταντίνου πρὸς ἐπισκόπους περὶ μεταδόσεως τοῦ λουτροῦ παράκλησις.*

Οὗτος ἦν αὐτὸς ὁ πάλαι μοι διψῶντι καὶ εὐχομένῳ τῆς ἐν Θεῷ τυχεῖν σωτηρίας, καιρὸς ἐλπιζόμενος. ὥρα καὶ ἡμᾶς ἀπολαῦσαι τῆς ἀθανατοποιοῦ σφραγῖδος. ὥρα τοῦ σωτηρίου σφραγίσματος μετασχεῖν· ἐπὶ ῥείθρων Ἰορδάνου ποταμοῦ τοῦτ' ἐνενόουν ποτὲ ποιῆσαι, ἐφ' ὧν καὶ ὁ Σωτὴρ εἰς ἡμέτερον τύπον, τοῦ λουτροῦ μετασχεῖν μνημονεύεται. Θεὸς δ' ἄρα τὸ συμφέρον εἰδὼς, ἐντεῦθεν ἤδη τούτων ἡμᾶς ἀξιοῖ. μὴ δὴ οὖν ἀμφιβολία τις γιγνέσθω. εἰ γὰρ καὶ πάλιν ἡμᾶς ἐνταυθοῖ βιοῦν ὁ καὶ ζωῆς καὶ θανάτου κύριος ἐθέλοι, καὶ οὕτως ἐμὲ συναγελάζεσθαι λοιπὸν τῷ τοῦ Θεοῦ λαῷ, καὶ ταῖς εὐχαῖς ὁμοῦ τοῖς πᾶσιν ἐκκλησιάζοντα κοινωνεῖν ἅπαξ ὥρισαι. θεσμοὺς ἤδη βίου Θεῷ πρέποντας, ἐμαυτῷ διατετάξομαι. ὁ μὲν δὴ τοῦτ' ἔλεγεν· οἱ δὲ, τὰ νόμιμα τελοῦντες, θεσμοὺς ἀπεπλήρουν θείους, καὶ τῶν ἀπορρήτων μετε-

## CAPUT LXI.

*Imperatoris ægritudo, & orationes Helenopoli. Item de ejus baptismo.*

PRincipio quidem inæqualis corporis intemperies; posthæc morbus eum invasit. Itaque ad aquas calidas civitatis suæ progressus, inde Helenopolim delatus est, urbem matris suæ nomine appellatam: ibique in templo martyrum diu commoratus, supplicationes & preces obtulit Deo. Cumque extremum vitæ diem sibi jam imminere sentiret, tempus tandem adesse existimavit, quo totius vitæ delicta ex-
B piaret; firmissimè credens, quæcumque humanitus peccavisset, arcanorum verborum efficacia & salutari lavacro penitus esse delenda. Hæc cùm apud se reputasset; genu flexo humi procumbens, veniam à Deo supplex poposcit, peccata sua confitens in ipso Martyrio: quo in loco manuum impositionem cum solemni precatione primùm meruit accipere. Hinc ad suburbana Nicomediæ digressus; convocatis Episcopis, sic ad eos verba fecit.

## CAPUT LXII.

*Quibus verbis Constantinus postulavit ab Episcopis ut baptismum sibi conferrent.*

C HOc erat tempus quod jamdudum speraham, cùm incredibili cupiditate arderem, votisque omnibus desiderarem salutem in Deo consequi. Jam tempus est, ut signum illud quod immortalitatem confert, nos quoque percipiamus; tempus est, ut salutaris signaculi participes fiamus. Equidem olim statueram id agere in flumine Jordane, in quo Servator ipse ad exemplum nostrum, lavacrum suscepisse memoratur. Sed Deus qui optime novit ea quæ nobis utilia sunt, hoc in loco nobis idi-
D psum exhibere dignatur. Proinde omnis removeatur dubitatio. Nam si quidem Deus vitæ mortisque arbiter, hìc me diutius vitam agere voluerit; idque semel decretum est, ut in posterum unà cum populo Dei permiscear, & in Ecclesiam adscitus cum reliquis omnibus orationum particeps fiam; eas vivendi leges mihi præscripturum me esse spondeo, quæ sint Deo dignæ. Hæc cum dixisset, illi solemni ritu divinas cæremonias peregerunt: injunctisque ei quæcumque necessaria erant, sacro-

rum mysteriorum participem eum fe- A cere. Solus igitur ex omnibus qui unquam fuerunt Imperatoribus Constantinus, in Christi martyriis renatus & consummatus est: & divino donatus signaculo, exultavit spiritu renovatusq; est, ac divina luce repletus. Et animo quidem maximam capiebat voluptatem ob fidei excellentiam; evidentissimam autem divinæ potentiæ magnitudinem attonitus mirabatur. Postquam omnia rite impleta sunt, candidis ac regiis vestibus lucis instar radiantibus est amictus, & candidissimo in lecto recubuit; nec purpuram contingere ampli- B us voluit.

## CAPUT LXIII.

*Quomodo post baptismum Deum laudavit.*

POsthæc sublata altius voce, precabundus gratias egit Deo: & finita precatione hæc subjecit. Nunc me revera beatum esse; nunc immortali vita dignum; nunc divinæ compotem lucis factum esse cognosco. Miseros quoque & infelices esse ajebat, qui tantis bonis privarentur. Cumq; Tribuni ac Duces militarium copiarum introgressi, vi- C cem suam dolerent quòd orbos ipsos relinqueret, & longiorem ipsi vitam comprecarentur; his etiam respondens, nunc demum veram se vitam adeptum esse dixit, seque unum optimè nosse, quantorum bonorum particeps factus fuisset. Proinde properare se, & profectionem ad Deum suum nulla tergiversatione differre. Singula deinde pro arbitrio suo disposuit. Ac Romanis quidem regiam urbem incolentibus annua quædam munera legavit. Suis autem liberis imperium velut pater- D nam hereditatem reliquit; cuncta prout ipsi videbatur, constituens.

## CAPUT LXIV.

*Constantini mors die festo Pentecostes, circa meridiem.*

POrro hæc omnia gerebantur in maxima illa solemnitate venerandæ & sacratissimæ Pentecostes: quæ septenario hebdomadum numero decorata, unitate obsignatur. In qua & communis Servatoris ascensum in cælos, & sancti Spiritus in terras descensum contigisse, sacræ literæ testantur. In ea igitur solemnitate Imperator hæc quæ diximus

A δίδοσαν. ὅσα χρὴ προσδιασειλάμενοι. καὶ δὴ μόνος τῶν ἐξ αἰῶνος αὐτοκρατόρων Κωνσταντῖνος, Χριστοῦ μαρτυρίοις ἀναγεννώμενος ἐτελειοῦτο· θείας τε σφραγῖδος ἀξιούμενος, ἠγάλλετο τῷ πνεύματι. ἀνεκαινοῦτό τε καὶ φωτὸς ἐνεπίμπλατο θείου. χαίρων μὲν τῇ ψυχῇ δι' ὑπερβολὴν πίστεως. τὸ δ' ἐναργὲς καταπεπληγὼς τῆς ἐνθέου δυνάμεως. ὡς δ' ἐπληροῦτο τὰ δέοντα, λαμπροῖς καὶ βασιλικοῖς ἀμφιάσμασι, φωτὸς ἐκλάμπουσι τρόπον, περιεβάλλετο, ἐπὶ λευκοτάτῃ τε στρωμνῇ διανεπαύετο, οὐκ- B έθ' ἁλουργίδος ἐπιψαῦσαι θελήσας.

## Κεφ. ΞΓ΄.

*Τὸ λουτρὸν λαβών, ὅπως ἀνύμνει τὸν Θεόν.*

ΚΑπειτα τὴν φωνὴν ἀνυψώσας, εὐχαριστήριον ἀνέπεμπε τῷ Θεῷ προσευχὴν μεθ' ἣν ἐπῆγε λέγων. νῦν ἀληθεῖ λόγῳ μακάριον οἶδ' ἐμαυτόν. νῦν τῆς ἀθανάτου ζωῆς πεφάνθαι ἄξιον. νῦν τοῦ Θείου μετειληφέναι φωτὸς πεπίστευκα. ἀλλὰ καὶ τάλανας ἀπεκάλει ἀθλίους εἶναι λέγων, τοὺς τῶν δὲ τῶν ἀγαθῶν ἐστερημένους. ἐπεὶ δὲ τῶν στρατοπέδων οἱ ταξίαρχαι καὶ καθηγεμόνες εἴσω παρελθόντες ἀπω- C δύροντο, σφᾶς αὐτοὺς ἐρήμους ἔσεσθαι ἀπολοφυρόμενοι, ἐπηύχοντό τε ζωῆς αὐτῷ χρόνου· καὶ τούτοις ἀποκρινάμενος, νῦν ἔφη τῆς ἀληθοῦς ζωῆς ἠξιῶσθαι, μόνον τ' αὐτὸν εἰδέναι ὧν μετείληφεν ἀγαθῶν. διὸ καὶ σπεύδειν, μηδ' ἀναβάλλεσθαι τὴν πρὸς τὸν αὐτοῦ Θεὸν πορείαν. εἶτ' ἐπὶ τούτοις τὰ προσήκοντα διετάττετο. καὶ Ῥωμαίους μὲν τοὺς τὴν βασιλίδα πόλιν οἰκοῦντας, ἐπιδόσεσιν ἐτησίοις. τοῖς δ' αὐτοῦ παισὶν, ὥσπερ τινὰ πατρικὴν ὕπαρξιν, τὸν τῆς βασιλείας πα- D ρεδίδου κλῆρον. πάνθ' ὅσα φίλα ἦν αὐτῷ διατυπωσάμενος.

## Κεφ. ΞΔ΄.

*Κωνσταντίνου τελευτὴ ἐν τῇ τῆς πεντηκοστῆς ἑορτῇ, μεσημβρίας.*

ΕΚαστα δὲ τούτων ἐπὶ τῆς μεγίστης συνετελεῖτο ἑορτῆς, τῆς δὴ πανσέπτου καὶ παναγίας Πεντηκοστῆς. ἑβδομάσι μὲν ἑπτὰ τετιμημένης, μονάδι τ' ἐπισφραγιζομένης. καθ' ἣν τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ κοινοῦ σωτῆρος, τήν τε τοῦ ἁγίου πνεύματος εἰς ἀνθρώπους κάθοδον, λόγοι γεγενῆσθαι περιέχουσι θεῖοι. ἐν ταύτῃ τούτων ἀξιωθεὶς βασιλεύς, ἐπὶ τῆς

τῆς ἁπασῶν ἡμέρας, ἣν δὴ ἑορτὴν ἑορτῶν οὐκ ἄν τις διαμάρτοι καλῶν, ἀμφὶ μεσημβρινὰς ἡλίου ὥρας, πρὸς τὸν αὐτοῦ Θεὸν ἀνελαμβάνετο. θνητοῖς μὲν τὸ συγγενὲς παραδοὺς ἔχειν. αὐτὸς δ' ὅσον ἦν αὐτοῦ τῆς ψυχῆς νοερόν τε καὶ φιλόθεον, τῷ αὐτοῦ Θεῷ συναπτόμενος· τοῦτο τέλος τῆς Κωνσταντίνου ζωῆς· ἀλλὰ γὰρ ἐπίωμεν ἐπὶ τὰ ἑξῆς.

## Κεφ. ΞΕ'.

*Στρατιωτῶν καὶ ταξιαρχῶν ὀδυρμοί.*

Δορυφόροι μὲν αὐτίκα καὶ πᾶν τὸ τῶν σωματοφυλάκων γένος, ἐσθῆτας περιρρηξάμενοι, σφᾶς τε αὐτοὺς ῥίψαντες ἐπ' ἐδάφους, τὰς κεφαλὰς ἤρασσον. κωκυτοὺς, φωνὰς οἰμωγαῖς θ' ἅμα καὶ βοαῖς ἀφιέντες. τὸν δεσπότην, τὸν κύριον, τὸν βασιλέα, οὐχ οἷα δεσπότην, πατέρα δ' ὥσπερ γνησίων παίδων δίκην, ἀνακαλούμενοι· ταξίαρχοι δὲ καὶ λοχαγοὶ τὸν σωτῆρα. φύλακα, τὸν εὐεργέτην ἀνεκάλουν· τά τε λοιπὰ στρατιωτικὰ σὺν παντὶ κόσμῳ τῷ πρέποντι, οἷα ἐν ἀγέλαις τὸν ἀγαθὸν ἐπόθουν ποιμένα· δῆμοί θ' ὡσαύτως τὴν σύμπασαν περινοστοῦντες πόλιν, τὸ τῆς ψυχῆς ἐνδόμυχον ἄλγος κραυγαῖς καὶ βοαῖς ἔκδηλον ποιούμενοι· ἄλλοι δὲ κατηφεῖς ἐπτοημένοις ἐῴκεσαν. ἑκάστου τε πένθος ἴδιον ποιουμένου, αὐτόν τε κόπτοντος, ὡσανεὶ τοῦ κοινοῦ ἁπάντων ἀγαθοῦ τῆς αὐτῶν ἀφῃρημένου ζωῆς.

## Κεφ. Ξς'.

*Μετακομιδὴ τοῦ σκήνους ἀπὸ Νικομηδείας ἐν Κωνσταντίνου πόλει ἐν παλατίῳ.*

Ἄραντες δ' οἱ στρατιωτικοὶ τὸ σκῆνος, χρυσῇ κατετίθεντο λάρνακι. ταύτην θ' ἁλουργῇ ἁλουργίδι περιέβαλλον, ἐκόμιζόν τ' εἰς τὴν βασιλέως ἐπώνυμον πόλιν· κἄπειτ' ἐν αὐτῷ τῷ πάντων προφέροντι τῶν βασιλείων οἴκων, βάθρων ἐφ' ὑψηλῶν κατετίθεντο. φῶτα δ' ἐξάψαντες κύκλῳ ἐπὶ σκευῶν χρυσῶν, θαυμαστὸν θέαμα τοῖς ὁρῶσι παρεῖχον, οἷον ἐπ' οὐδενὸς πώποτ' ἐφ' ἡλίου αὐγαῖς ἐκ πρώτης αἰῶνος συστάσεως ἐπὶ γῆς ὤφθη. ἔνδον γάρ τοι ἐν αὐτῷ παλατίῳ κατὰ τὸ μεσαίτατον τῶν βασιλείων, ἐφ' ὑψηλῆς κείμενον χρυσῆς λάρνακος τὸ βασιλέως σκῆνος, βασιλικοῖς τε κόσμοις, πορφύρᾳ τε καὶ διαδήματι τετιμημένον, πλεῖστοι περιστοιχισάμενοι, ἐπαγρύπνως δι' ἡμέρας, καὶ νυκτὸς ἐφρούρουν.

A consecutus, ultima tandem die, quam si quis omnium festivitatum maximam vocet, haudquaquam meo judicio aberraverit, circa meridiem migravit ad Dominum; mortalibus quidem partem sui mortalem relinquens: eam verò animæ partem quæ intelligentia & amore Dei prædita erat, Deo suo conjungens. Hic Constantino exitus vitæ fuit. Sed pergamus ad reliqua.

## CAPUT LXV.

*Militum & Tribunorum planctus.*

ET Protectores quidem omnisque stipatorum turba, confestim discer- B ptis vestibus pronos se in terram abjicientes caput solo illidebant, ejulatus & lamenta cum planctu & clamoribus edentes; eumque dominum atque Imperatorem, nec ut dominum sed ut parentem piissimi liberi inclamantes. Tribuni verò & Centuriones servatorem, præsidem, bene meritum prædicabant. Reliqui exercitus tanquam greges quidam, cum omni modestia ac reverentia optimum pastorem desiderabant. Plebs quoq; per universam civitatem discurrebat, intimum animi sui dolorem vociferatione, & clamorib⁹ abunde significans. Multi præ dolore, attonitis similes videbantur; C singulis hanc propriam calamitatem reputantibus, seque ipsos plangentibus, utpote communi omnium bono ex hac vita sublato.

## CAPUT LXVI.

*Quomodo funus Nicomediâ Constantinopolim deductum est in palatium.*

POsthæc milites sublatum è lecto corpus in arca aurea deposuerunt, eamque purpurea obtectam veste Constantinopolim deportarunt, atque in D præcipuo Imperialis palatii cubiculo sublimem collocaverunt. Dehinc aurea super candelabra luminibus undiq; accensis, admirabile spectaculum intuentibus præbebatur, & quale in nullo unquam mortalium ab ipso orbis conditu visum in terris fuerat. Quippe in medio conclavi regalis palatii, funus Imperatoris in arca aurea sublime jacens, regiis insignibus, purpura scilicet ac diademate exornatum, multi circũdantes noctu atque interdiu vigiles custodiebant.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

A

## CAPUT LXVII.

*Quomodo etiam post mortem à Comitibus & reliquis, perinde ac vivus, honoratus est.*

CEterùm toti⁹ exercitus duces, Comites quoque & reliqui judices ac magistratus, qui etiam antea Imperatorem adorare soliti erant, pristini moris observantiam nullatenus mutantes, statis horis ingrediebantur; & Imperatorem in arca depositum, perinde ac vivũ & spirantem, genu flexo post obitum salutabant. Post Primores autem illos, idem deinceps & Senatores & honorati omnes introeuntes fecere. Innumerabilis deinde vulgi multitudo cũ pueris ac mulieribus ad hujus rei spectaculum accessit. Atque hæc longi temporis spatio assiduè gesta sunt; cum militares funus ad hunc modum jacêre & custodiri decrevissent, donec Imperatoris filii eò advenientes, ipsi paternum fun⁹ honoris causa prosequerentur. Solus denique etiam post mortem imperavit Princeps beatissimus: cunctaq; more solito administrata sunt, quasi adhuc in vivis esset. Qui honos uni illi post hominũ memoriam à Deo concessus est. Quippe cùm solus ille præ ceteris Imperatoribus, Deum omnium Regem Christumq; ejus filiũ variis cujusq; generis actibus honorasset, jure merito his honoribus solus affectus est: idq; illi tribuere dignatus est summus omniũ Deus, ut cadaver ejus in terris imperiũ obtineret. Quo quidẽ indicio iis qui non plane stupidi atq; hebetes essent, perspicuè significavit Deus, animã illius perpetuo & immortali imperio frui. Et hæc quidem gesta sunt in hunc modum.

## Κεφ. ΞΖ΄.

*Ὅπως καὶ μετὰ θάνατον ὑπὸ κομήτων καὶ λοιπῶν, καθὼς καὶ ἐν τῷ ζῆν, ἐτιμᾶτο.*

ΟΙ δὲ γε τοῦ παντὸς στρατοῦ καθηγεμόνες, κόμητές τε καὶ πᾶν τὸ τῶν ἀρχόντων τάγμα, οἷς τὸν βασιλέα καὶ νόμος πρότερον ἦν προσκυνεῖν, μηδὲν τοῦ συνήθους ὑπαλλαττόμενοι τρόπου, τοῖς δέουσι καιροῖς εἴσω παριόντες, τὸν ἐπὶ τῆς λάρνακος βασιλέα, οἷά περ ζῶντα
B καὶ μετὰ θάνατον, γονυκλινεῖς ἠσπάζοντο. μετὰ δὲ πρώτους ταὐτὸν ἔπραττον παριόντες, οἵ τ' ἐξ αὐτῆς συγκλήτου βουλῆς, οἵ τ' ἐπ' ἀξίας πάντες· μεθ' οὓς ὄχλοι παντοίων δήμων, γυναιξὶν ἅμα καὶ παισὶν ἐπὶ τὴν θέαν παρῄεσαν. συνετελεῖτο δὲ ταῦτα οὕτω χρόνῳ μακρῷ. τῶν στρατιωτικῶν οὕτω μένειν τὸ σκῆνος καὶ φυλάττεσθαι βουλευσαμένων, ἔστ' ἂν οἱ αὐτοῦ παῖδες ἀφικόμενοι, τῇ δι' ἑαυτῶν κομιδῇ τὸν πατέρα τιμήσωσιν. ἐβασίλευε δὲ μετὰ θάνατον μόνος θνητῶν ὁ μακάριος. ἐπράττετό τε τὰ συνήθη, ὡσανεὶ ζῶντος αὐτοῦ. τοῦτο μονωτάτῳ αὐτῷ ἀπ' αἰῶνος τοῦ Θεοῦ δεδωρημένου. μόνος γοῦν, ὡς οὐκ ἄλλος αὐτοκρατόρων τὸν παμβασιλέα Θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ παντοίαις τιμήσας πράξεσιν, εἰκότως τούτων ἔλαχε μόνος. καὶ τὸ θνητὸν
C αὐτοῦ βασιλεύειν ἐν ἀνθρώποις ὁ ἐπὶ πάντων ἠξίου Θεός. ὧδ' ἐπιδεικνὺς τὴν ἀγήρω καὶ ἀτελεύτητον τῆς ψυχῆς βασιλείαν τοῖς μὴ τὸν νοῦν λελιθωμένοις. ἀλλὰ ταῦτα μὲν, ὧδέ πῃ συνετελεῖτο.

## CAPUT LXVIII.

*Quomodo exercitus judicio, filii ejus Augusti sunt nuncupati.*

INterea Tribuni lectos quosdam ex militaribus numeris, qui fidei ac benevolentiæ causâ olim Principi accepti fuissent, ad Cæsares mittunt, cuncta eis quæ gesta erãt nuntiaturos. Et hæc quidem illi tunc egerunt. Omnes verò ubicumq; exercitus, quasi divino quodam spiritu incitati, simul atque de Imperatoris morte nuntiatũ est, uno consensu decreverunt, prorsus quasi maxim⁹ Imperator adhuc superesset, neminem se præter ei⁹ liberos Imperii Romani prin-

## Κεφ. ΜΗ΄.

*Ὅπως αὐγούστους εἶναι λοιπὸν τοὺς υἱοὺς αὐτοῦ τὸ στρατόπεδον ἔκρινεν.*

ΤΩν δὲ στρατιωτικῶν ταγμάτων ἐκκρίτους ἄνδρας, πίστει καὶ εὐνοίᾳ πάλαι βασιλεῖ
D γνωρίμους, οἱ ταξίαρχοι διεπέμποντο, τὰ πεπραγμένα τοῖς καίσαρσιν ἔκδηλα καθιστῶντες. καὶ οἱ δὲ μὲν ταῦθ' ἔπραττον. ὥσπερ δ' ἐξ ἐπιπνοίας κρείττονος, τὰ πανταχοῦ στρατόπεδα τὸν βασιλέως πυθόμενα θάνατον, μιᾶς ἐκράτει γνώμης. ὡσανεὶ ζῶντος αὐτοῖς τοῦ μεγάλου βασιλέως, μηδένα γνωρίζειν ἕτερον, ἢ μόνους τοὺς αὐτοῦ παῖδας Ῥωμαίων αὐτοκράτορας· εἰς

A εἰς μακρὸν δ' ἠξίουν, μὴ Καίσαρας. ἐντεῦθεν δ' ἤδη τοὺς ἅπαντας χρηματίζειν Αὐγούστους. ὃ δὴ καὶ μέγιστον τῆς ἀνωτάτω βασιλείας γίγνοιτ' ἂν σύμβολον. οἱ μὲν οὖν ταῦτ' ἔπραττον, τὰς οἰκείας ψήφους τε καὶ φωνὰς διὰ γραφῆς ἀλλήλοις διαγγέλλοντες· ὑπὸ μίαν τε καιροῦ ῥοπὴν τοῖς ἁπανταχοῦ πᾶσιν ἐγνωρίζετο ἡ τῶν στρατοπέδων συμφωνία.

### Κεφ. ΞΘ'.

Ῥώμης ἐπὶ Κωνσταντίνῳ πένθος, καὶ διὰ τῶν εἰκόνων τιμὴ μετὰ θάνατον.

B Οἱ δὲ τὴν βασιλίδα πόλιν οἰκοῦντες, αὐτῇ συγκλήτῳ καὶ δήμῳ Ῥωμαίων, ὡς τὴν βασιλέως ἐπέγνωσαν τελευτήν, δεινὴν καὶ πάσης συμφορᾶς ἐπέκεινα τὴν ἀκοὴν θέμενοι, πένθος ἄσχετον ἐποιοῦντο· λουτρὰ δὴ ἀπεκλείετο καὶ ἀγοραί, πάνδημοί τε θέαι, καὶ πάνθ' ὅσ' ἐπὶ ῥᾳστώνῃ βίου τοῖς εὐθυμουμένοις πράττειν ἔθος ἦν. κατηφεῖς δ' οἱ πάλαι τρυφηλοί, τὰς προόδους ἐποιοῦντο· ὁμοῦ θ' οἱ πάντες τὸν μακάριον ἀνευφήμουν. τὸν θεοφιλῆ. τὸν ὡς ἀληθῶς τῆς βασιλείας ἐπάξιον· καὶ οὐ ταῦτα βοαῖς ἐφώνουν μόνον. εἰς ἔργα δὲ χωροῦντες, C εἰκόνος ἀναθήμασιν οἷά περ ζῶντα καὶ τεθνηκότα αὐτὸν ἐτίμων. οὐρανοῦ μὲν σχῆμα διατυπώσαντες ἐν χρωμάτων γραφῇ. ὑπὲρ ἁψίδων οὐρανίων ἐν αἰθερίῳ διατριβῇ διαναπαυόμενον αὐτὸν τῇ γραφῇ παραδιδόντες· τοὺς δ' αὐτοῦ παῖδας καὶ οὗτοι μόνους καὶ οὐδ' ἄλλους, αὐτοκράτορας καὶ Σεβαστοὺς ἀνεκάλουν· βοαῖς τ' ἐχρῶντο ἱκετηρίοις, τὸ σκῆνος τοῦ σφῶν βασιλέως παρ' αὐτοῖς κομίζοντες, καὶ τῇ βασιλίδι πόλει κατατίθεσθαι ποτνιώμενοι.

### D Κεφ. Ο'.

Κατάθεσις τοῦ σκηνώματος ὑπὸ Κωνσταντίου παιδὸς ἐν Κωνσταντινουπόλει.

Ἀλλὰ καὶ οἵδε ταύτῃ τὸν παρὰ Θεῷ τιμώμενον ἐκόσμουν· ὁ δὲ τῶν παίδων δεύτερος τῷ τοῦ πατρὸς ἐπιστὰς σκήνει, τῇ πόλει (τοῦτο) προσεκόμιζεν, αὐτὸς ἐξάρχων τῆς ἐκκομιδῆς· ἡγεῖτο δὲ κατὰ στίφος τὰ στρατιωτικὰ τάγματα. εἵπετό τε πλῆθος μυρίανδρος. λογχοφόροι τε καὶ ὁπλῖται τὸ βασιλέως περιεῖπον σῶμα. ὡς δὲ ἐπὶ τὸν τῶν ἀποστόλων τοῦ σωτῆρος

cipem habituros. Nec multo post, eosdem non Cæsares appellari voluerunt, sed Augustos; quod nomen summi imperii velut quoddam insigne est. Et exercitus quidem suffragia sua atque acclamationes sibi mutuò per literas significarunt: & unanimis legionum consensus, uno eodemque temporis momento cunctis ubicumque agentibus innotuit.

### CAPUT LXIX.

*Roma luctus ob mortem Constantini, & imagines ei decretæ.*

AT in urbe regia, Senatus Populusque Romanus comperta Imperatoris morte, gravissimum hunc nuntiũ & quavis calamitate acerbiorem rati, nullum luctui modum fecere. Quippe balnea & fora rerum venalium clausa: publica item spectacula, & quæcumque alia vitæ oblectamenta homines in otio degentes consectari solent, remota. Et qui prius deliciis diffluxerant, mæsti tunc per vias incedebant. Omnes Imperatorem beatum; Deo carum, & prorsus Imperio dignissimum prædicabant. Neque hæc voce tantum nudâ declarabant: sed imaginibus dedicatis mortuum perinde ac superstitem honorabant. In quibus cum cœli similitudinem expressissent in tabula, ipsum supra cælestes fornices, in æthereo domicilio requiescentem pinxere. Quinetiam ipsi liberos ejus, Imperatores atque Augustos solos sine cujusquam alterius consortio nuncupabant: magnisque clamoribus postulabant, ut Imperatoris sui funus apud se haberent, & in regia urbe deponerent.

### CAPUT LXX.

*Quomodo funus Constantinopoli depositum sit à Constantio.*

HUnc principi à Deo honorato, etiã Romani honorẽ exhibuerunt. At secund⁹ ex filiis ad patris funus cum advenisset, in urbem patri cognominẽ illud devexit, ipse exequias præcedens. Præibant per catervas & agmina dispositi numeri militares. Ponè sequebatur innumerabilis hominũ multitudo. Hastati verò & scutarii ipsum Imperatoris corpus medii cingebant. Postquam ad

Apostolorum Servatoris nostri Ecclesiam perventum est, arcam illic deposuerunt. Hunc in modum novus Imperator Constantius, tum adventu suo, tum reliquis officiis patri honorem exhibēs, justa ut par erat persolvit.

## CAPUT LXXI.

*Missa in Apostolorum Martyrio celebrata in exequiis Constantini.*

VBi verò ille cum militaribꝰ numeris abcessit, ministri Dei cum turbis & tota fidelium plebe, in medium prodiere, & divini cultus cæremonias precationibus peregerunt. Ac beatus quidē princeps alto in suggestu jacens, laudibus tum celebrabatur. Innumerabilis autem populus una cum sacerdotibus Dei, non sine gemitu ac lacrymis, pro Imperatoris anima preces offerebant Deo; gratissimum pio Principi officium exhibentes. Porro in hoc etiam Deus prolixam erga famulum suum benevolentiam declaravit: quippe qui carissimis ac germanis ejus filiis paterni Imperii successionē tribuerit; & quod maximè ambierat, locum juxta Apostolorum memoriam ei concesserit; ut scilicet beatissimæ illiꝰ animæ tabernaculū Apostolici nominis atque honoris consortio frueretur; & populo Dei in Ecclesia sociaretur; divinisque ceremoniis ac mystico sacrificio, & sanctarum precum communione potiri mereretur: ipse verò etiam post mortem Imperium retinens, quasi redivivus universum orbem gubernans, Victor Maximus Augustus, suo adhuc nomine Rempublicam regeret.

## CAPUT LXXII.

*De Phœnice ave.*

NOn queādmodum avis illa Aegyptia; quæ cum ejus generis unica sit, super aromatum cumulo emori dicitur, seipsam quasi victimam immolans: moxque ex ipsis favillis renasci, & pennis in altum subvecta, eadem qua prius specie cerni: sed potius exemplo Servatoris sui; qui instar tritici sati, ex uno semine in multa sese diffundens, ope ac benedictione Dei spicam protulit, & universum terrarum orbem fructibus suis implevit. Ad hunc modum beatis-

A νεὼν παρῆσαν, ἐνταυθοῖ τὴν λάρνακα διανέπαυον. καὶ βασιλεὺς μὲν νέος Κωνστάντιος ταύτῃ κοσμῶν τὸν πατέρα, τῇ τε παρουσίᾳ, καὶ τοῖς εἰς αὐτὸν καθήκουσι, τὰ τῆς πρεπούσης ὁσίας ἀπεπλήρου.

## Κεφ. ΟΑ'.

Συνάξεις ἐν τῷ καλουμένῳ μαρτυρίῳ τῶν Ἀποστόλων ἐπὶ τῇ Κωνσταντίνου τελευτῇ.

ΕΠεὶ δ' ὑπεχώρει σὺν τοῖς στρατιωτικοῖς τάγμασι, μέσοι δὴ παρῆσαν οἱ τοῦ Θεοῦ
B λειτουργοὶ, σὺν αὐτοῖς πλήθεσι, πανδήμῳ τε θεοσεβείας λαῷ. τά τε τῆς ἐνθέου λατρείας δι' εὐχῶν ἀνεπλήρουν. ἔνθα δὴ ὁ μὲν μακάριος ἀνακείμενος ἐφ' ὑψηλῆς κρηπῖδος ἐδοξάζετο. ὁ λεὼς δὲ παμπληθὴς σὺν τοῖς τῷ Θεῷ ἱερωμένοις, οὐ δακρύων ἐκτὸς. σὺν κλαυθμῷ δὲ πλείονι, τὰς εὐχὰς ὑπὲρ τῆς βασιλέως ψυχῆς ἀπεδίδουν τῷ Θεῷ, τὰ καταθύμια τῷ θεοφιλεῖ πληροῦντες· καὶ τούτῳ τοῦ Θεοῦ πρὸς τὸν αὐτοῦ θεράποντα εὐμένειαν ἐνδειξαμένου. ὅτι δὴ καὶ [μετὰ] τέλος αὐτοῦ τοῖς ἀγαπητοῖς καὶ γνησίοις υἱοῖς διαδόχοις τὴν βασιλείαν ἐδωρεῖτο. καὶ τὰ
C σπουδασθέντα αὐτῷ σὺν τῇ τῶν ἀποστόλων κατηξιοῦτο μνήμῃ, τὸ τῆς τρισμακαρίας ψυχῆς σκῆνος, τῷ τῶν ἀποστόλων προσρήματι συνδοξαζόμενον, καὶ τῷ τοῦ Θεοῦ λαῷ συναγελαζόμενον, θεσμῶν τε θείων καὶ μυστικῆς λειτουργίας ἀξιούμενον, καὶ κοινωνίας ὁσίων ἀπολαῦον εὐχῶν· αὐτὸς δὲ τῆς βασιλείας [καὶ] μετὰ θάνατον ἐπειλημμένος, ὥσπερ οὖν ἐξ ἀναβιώσεως, τὴν σύμπασαν ἀρχὴν διοικῶν, νικητής. Μέγιστος. Σεβαστὸς αὐτῷ προσρήματι τῆς ῥωμαίων ἡγεμονίας κρατεῖ.

D

## Κεφ. ΟΒ'.

Περὶ Φοίνικος ὀρνέου.

ΟΥ κατὰ τὸν Αἰγύπτιον ὄρνιν, ὃν δὴ φασὶ μονογενῆ ὄντα τὴν φύσιν, θνήσκειν μὲν ἐπ' ἀρωμάτων, αὐτὸν αὐτῷ τὴν τελευτὴν θυηπολήσαντα. ἀναβιώσκειν δ' ἐξ αὐτῆς σποδιᾶς, καὶ ἀναπτάντα τοιοῦτον οἷος καὶ πρότερον ἦν φῦναι κατὰ δὲ τὸν αὐτοῦ σωτῆρα. ὃς τῷ τοῦ πυροῦ σπέρματι παραπλησίως ἀνθ' ἑνὸς πολυπλασιαζόμενος, σὺν εὐλογίᾳ Θεοῦ παρεῖχε τὸν στάχυν, καὶ τὴν σύμπασαν οἰκουμένην τῶν αὐτοῦ κατενέπιπλα καρπῶν· τούτῳ οὖν ἐμφερῶς ὁ τρισ-

μακάριος, πολυπλασίως διὰ τῆς τῶν παίδων A
διαδοχῆς ἀνθ᾽ ἑνὸς ἐγίγνετο. ὡς καὶ εἰκόνων ἀναστάσεσι παρὰ πᾶσιν ἔθνεσιν, ἅμα τοῖς αὐτοῦ τιμᾶσθαι παισίν. οἰκεῖόν τε τοὔνομα Κωνσταντίνου, καὶ μετὰ τὴν τοῦ βίου παραλαμβάνεσθαι τελευτήν.

## Κεφ. ΟΓ΄.

Ὅπως ἐν νομίσμασιν, ὡς εἰς οὐρανὸν ἀνιόντα Κωνσταντῖνον ἐνεχάρασσον.

Ἤδη δὲ καὶ νομίσμασιν ἐνεχαράττοντο τύ- B
ποι. πρόσθεν μὲν ἐκτυποῦντες τὸν μακάριον, ἐγκεκαλυμμένον τὴν κεφαλὴν σχήματι. θατέρου δὲ μέρους ἐφ᾽ ἅρματι τεθρίππῳ ἡνιόχου τρόπον, ὑπὸ δεξιᾶς ἄνωθεν ἐκτεινομένης αὐτῷ χειρὸς ἀναλαμβανόμενον.

## Κεφ. ΟΔ΄.

Ὅτι ὁ τιμηθεὶς ὑπ᾽ αὐτοῦ Θεὸς, δικαίως αὐτὸν ἀντετίμησε.

Ταῦθ᾽ ἡμῖν αὐτοῖς δείξας ὀφθαλμοῖς, ἐπὶ μόνῳ τῶν πώποτε χριστιανῶν διαφανῶς ἀποδειχθέντι Κωνσταντίνῳ ὁ ἐπὶ πάντων Θεὸς, C
ὁπόσον ἦν ἄρα αὐτῷ τὸ διάφορον παρεστήσατο, τῶν αὐτόν τε καὶ τὸν χριστὸν αὐτοῦ σέβειν ἠξιωμένων, τῶν τε τὴν ἐναντίαν ἑλομένων· οἳ τὴν ἐκκλησίαν αὐτοῦ πολεμεῖν ὡρμηκότες, αὐτὸν αὑτοῖς ἐχθρὸν καὶ πολέμιον κατεστήσαντο. τῆς ἐφ᾽ ἑκάστῳ τοῦ βίου καταστροφῆς, ἐναργῆ τὸν ἔλεγχον τῆς αὐτῶν θεοεχθρίας ἐνδειξαμένης. ὥσπερ οὖν τῆς θεοφιλείας τὰ ἐχέγγυα, τὸ Κωνσταντίνου τοῖς πᾶσι φανερὸν κατέστησε τέλος.

D

## Κεφ. ΟΕ΄.

Ὅτι τῶν προηγησαμένων ῥωμαίων βασιλέων εὐσεβέστερος Κωνσταντῖνος.

Μόνου μὲν ῥωμαίων βασιλέων τὸν παμβασιλέα Θεὸν ὑπερβολῇ θεοσεβείας τετιμηκότος. μόνου δὲ τοῖς πᾶσι πεπαρρησιασμένως τὸν τοῦ χριστοῦ κηρύξαντος λόγον. μόνου τ᾽ εἰπεῖν ἐκκλησίαν αὐτοῦ, ὡς οὐδέτερος τῶν ἐξ αἰῶνος, δοξάσαντος. μόνου τε πᾶσαν πολύθεον πλάνην καθελόντος, πάντα τε τρόπον εἰδωλολατρείας ἀπελέγξαντος· καὶ δὴ καὶ μόνου τοιούτων ἠξιωμένου ἐν αὐτῇ τε ζωῇ καὶ μετὰ θανα-

simus Princeps per successionem liberorum multiplex factus est ex uno: adeo ut passim in omnibus provinciis imagines ei simul cum filiis honoris causâ statuantur, & familiare nomen Constantini etiam post ejus obitum usurpetur.

## CAPUT LXXIII.

*Quomodo in nummis, Constantinum velut in cælum ascendentẽ expresserint.*

Quinetiam nummi hujusmodi forma signati sunt; anteriore quidem parte beatum Principem obtecto capite præferentes: altera verò parte in quadriiugo curru aurigæ instar sedentem, & porrectâ ipsi cælitus dextrâ ad Superos assumptum.

## CAPUT LXXIV.

*Quòd cùm Deum coluisset, meritò etiam à Deo honoratus est.*

Haec miracula summus omnium Deus in Constantino, qui solus ex omnibus retro Imperatoribus Christianum se palam professus fuerat, nostris oculis proponens; satis superque declaravit, quantum interesset inter eos qui ipsum Christumque ipsius colere meruissent, atq; inter illos qui contrariam sectam ac sententiam amplexi essent. Qui cùm Ecclesiæ Dei bellum intulissent, Deum sibi hostem atque inimicũ reddiderunt. Ac profecto uniuscujusq; illorum interitus, quantum erga eos esset divini Numinis odium, certissimo argumento declaravit: quemadmodum Constantini obitu, Dei erga ipsum benevolentiæ quædam quasi pignora, omnibus manifesto apparuerunt.

## CAPUT LXXV.

*Quòd Constantinus superiores omnes Imperatores pietate superavit.*

Qui cùm solus ex Romanis Imperatorib⁹, Deum omniũ Regem excellenti quadam pietate coluisset; solusque doctrinã Christi universis ore libero prædicasset: cùmque Ecclesiam Dei honore & gloria in tantũ auxisset quantùm antea nemo, & errorem hominum plures colentium Deos solus evertisset, omnesque hujusmodi superstitionis ritus ac modos confutasset: solus quoq; tum in hac vita, tum post mortem, ea

consequi meruit, qualia nullus unquam nec apud Græcos, nec apud Barbaros adeptus esse perhibetur. Sed neq; apud priscos illos Romanos, ab ultimis usque temporibus quisquam recenseri potest, qui cum hoc nostro sit comparandus.

A τον, οἵων οὐκ ἄν τις τυχόντα οἷός τ' ἂν γένοιτο ἐξειπεῖν τινα. οὔτε παρ' Ἕλλησιν, οὔτε παρὰ βαρβάροις, οὐδέ γε παρ' αὐτοῖς τοῖς ἀνωτάτω Ῥωμαίοις, οὐδενὸς τοιούτου τινὸς εἰς ἡμᾶς ἐκ τοῦ παντὸς αἰῶνος μνημονευομένου.

## ΤΟΥ ΠΕΜΠΤΟΥ ΛΟΓΟΥ ΤΑ ΚΕΦΑΛΑΙΑ.

α' Τὸ προοίμιον τοῦ πάσχα μέμνηται. καὶ οἷα ὁ τοῦ Θεοῦ λόγος ὠφελήσας συμπάντας διαφόρως, παρὰ τῶν ὠφελουμένων ἐπεβουλεύετο.

β' Προσφώνησις τῇ ἐκκλησίᾳ, καὶ τοῖς ἀκροαταῖς, συγγινώσκειν καὶ διορθοῦν τὰ πταίσματα.

γ' Ὅτι καὶ τοῦ λόγου πατὴρ ὁ Θεός, καὶ τῆς κτίσεως ὁ αὐτὸς δημιουργός. καὶ οὐκ ἂν ἠδύνατο συνεστάναι τὰ ὄντα, εἰ διάφορα ἦν αὐτῶν τὰ αἴτια.

δ' Περὶ τῆς κατὰ εἴδωλα πλάνης.

ε' Ὅτι Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ πάντα ἐδημιούργησε, καὶ τοῦ εἶναι τὸ ποσὸν ἐν ἑκάστῳ διωρίσατο.

ς' Περὶ τῆς εἱμαρμένης, ὅτι ψευδὴς ὁ περὶ αὐτῆς λόγος δείκνυται, ἔκ τε τῶν παρ' ἀνθρώποις νόμων, καὶ τῶν κατὰ τὴν κτίσιν. ἅτινα οὐκ ἀτάκτως, ἀλλὰ κατὰ τάξιν κινεῖται, τοῦ δημιουργοῦ τὸν ὅρον διὰ τῆς τάξεως ἐπιδεικνύμενα.

ζ' Ὅτι περὶ τῶν ἀκαταλήπτων, τοῦ δημιουργοῦ χρὴ τὴν σοφίαν δοξάζειν, καὶ οὐκ ἄλλον οὐδ' αὐτόματον αἰτιᾶσθαι φοράν.

η' Ὅτι τὰ μὲν χρειώδη, ἀφθόνως τοῖς ἀνθρώποις ὁ Θεὸς χορηγεῖ· τὰ δὲ πρὸς τρυφήν, μετρίως. συμφερόντως ἑκατέρων χορηγῶν τὴν ἀπόλαυσιν.

θ' Περὶ τῶν φιλοσόφων, οἳ διὰ τὸ πάντα βούλεσθαι εἰδέναι, καὶ περὶ τὰς δόξας ἐσφάλησαν, καὶ κινδύνοις ἔνιοι προσωμίλησαν. καὶ περὶ τῶν Πλάτωνος δογμάτων.

ι' Περὶ τῶν μὴ μόνον τὰ γραφικὰ δόγματα, ἀλλὰ καὶ τὰ φιλόσοφα διαπτυόντων. καὶ περὶ τοῦ δεῖν ἢ πάντα πιστεύειν τοῖς ποιηταῖς, ἢ πάντα ἀπιστεῖν.

ια' Περὶ τῆς κατὰ σάρκα τοῦ κυρίου παρουσίας, τίς καὶ ἐπὶ τίσι γεγένηται.

ιβ' Περὶ τῶν μὴ γνόντων τὸ μυστήριον, καὶ ὅτι ἑκόντες ἠγνόησαν. καὶ ὅσα τοὺς γνόντας ἀγαθὰ μένει, καὶ μάλιστα τοὺς διὰ ὁμολογίας τελειωθέντας.

ιγ' Ὅτι ἀναγκαία τῶν τῆς κτίσεως μερῶν ἡ διαφορά. καὶ ὅτι ἡ πρὸς τὸ καλὸν καὶ κακὸν ῥοπὴ τῆς τῶν ἀνθρώπων γνώμης ἐστίν· ὅθεν καὶ ἡ κρίσις ἀναγκαία καὶ εὔλογος.

ιδ' Ὅτι ἀπείρως ἡ κτιστὴ φύσις ἀπὸ τῆς ἀκτίστου οὐσίας ἀφέστηκε· πλησίον δὲ αὐτῆς τῷ κατ' ἀρετὴν βίῳ ὁ ἄνθρωπος γίγνεται.

ιε' Ὅσα ὁ σωτὴρ ἐδίδαξε, καὶ ἐθαυματούργησε, καὶ τοὺς ἀρχομένους ὠφέλησεν.

ις' Τὴν Χριστοῦ παρουσίαν προειρῆσθαι μὲν τοῖς προφήταις. ἐπὶ καταστροφῇ δὲ τῶν εἰδώλων καὶ τῶν εἰδωλικῶν γενέσθαι πόλεων.

ιζ' Περὶ τῆς Μωϋσέως σοφίας, ζηλωθείσης παρὰ τῶν ἔξωθεν σοφῶν. καὶ περὶ Δανιὴλ καὶ τῶν τριῶν παίδων.

ιη' Περὶ τῆς Σιβύλλης τῆς ἐρυθραίας, ἐν ἀκροστιχίδι τῶν τῆς μαντείας ἐπῶν, τὴν κάθ[illegible] καὶ τὸ πάθος δηλούσης. ἔστι δὲ ἡ ἀκροστιχίς, Ἰησοῦς Χριστός, Θεοῦ υἱός, σωτήρ, σταυρός.

ιθ' Ὅτι ἡ περὶ τοῦ σωτῆρος μαντεία παρ' οὐδενὸς τῶν τῆς ἐκκλησίας πέπλασται, ἀλλὰ τῆς ἐρυθραίας Σιβύλλης ἐστίν, ἧς τὰς βίβλους Κικέρων ὁ ποιητὴς πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ Ῥωμαίοις μετέφρασε· καὶ ὅτι Βιργίλιος μέμνηται αὐτῆς, καὶ τοῦ παρθενικοῦ τόκου. δι' αἰνιγμάτων φόβῳ τῶν κρατούντων ὑμνήσας τὸ μυστήριον.